# ἘΥΣΤΑΘΕΙΌΥ
ΤῸ
## ΚΑΘ' ὙΣΜΉΝΗΝ, ΚΑΙ' ὙΣΜΗΝΊΑΝ.
# ΔΡΑ͂ΜΑ.
## ΕἼΣ ΒΙΒΛΊΑ ΙΑ΄.

ΤΥΠΩΘΈΝ ΜΈΝ

Ἐπιμελεία καὶ ἀναλώμασι τοῦ Πολυζώη Λαμπανιτζιώτη.

ΚΑΙ' ἈΦΙΕΡΩΘΈΝ

Τῷ Εὐγενεστάτῳ Ἄρχ. Σπαθα
Κῷ Κῷ Νικολάῳ Χαντζαρλ

ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ Ε
Ν

αψϟα ἘΝ ΒΙΈΝΝΗ, 179
παρὰ τῷ εὐγενεῖ Θωμᾷ
Τράτνερν.

# ’ΕΥΓΕΝΕ´ΣΤΑΤΕ

## Ἄρχων!

Τὰ καλὰ τοῖς καλοῖς, τὰ σοφὰ τοῖς σοφοῖς, τὰ ἔνδοξα καὶ ἀστεῖα εἰς τοὺς ἐνδόξους καὶ ἀστείους τὸν τρόπον. Ἐγὼ λοιπὸν στοχαζόμενος εἰς ποῖον ἄραγε ἦτον πρεπωδέστερον καὶ μᾶλλον ὀφειλόμενον νὰ ἀφιερώσω κατ᾽ ἀξίαν τὸν ὃν ἀνὰ χεῖρας φέρετε ’ΕΥΣΤΑ´ΘΙΟΝ, (τὸ καθ᾽ ‛ΥΣΜΙ´ΝΗΝ καὶ ‛ΥΣΜΗΝΙ´ΑΝ αὐτοῦ σύγγραμμα, τὸ οὐ μόνον καλὸν, γλαφυρὸν καὶ ἀστεῖον, ὡς τοῖς περὶ τὰ τοιαῦτα φιλοκάλοις τε καὶ φιλαναγνώσταις δῆλον, ἀλλὰ δὴ καὶ παλαιὸν, καὶ παρὰ τοῦ παλαιοῦ χρόνου μέχρι καὶ πρὸς τοὺς καθ᾽ ἡμᾶς ἐγκριθέν τε καὶ ἐγκριθησόμενος, πᾶς τις εἴποι, διὰ τὸ ἔνδοξον καὶ χρήσιμον αὐτοῦ, δι᾽ ὃ δὴ, καὶ ἵνα

μὴ διὰ τὴν ἔλλειψιν ἐξίτηλον παντελῶς τῷ πανδαμάτορι γένηται, καὶ μετατυπωθὲν πάλιν εἰς τὴν ἐνταῦθα βασιλεύουσαν Βιένναν διὰ τῆς ἐμῆς τοῦ ταπεινοῦ της δούλου ἐπιστασίας) δὲν ἠμπόρεσα κατὰ τὸ παρὸν νὰ εὕρω ἄλλον πλέον φιλόκαλον ἀπὸ τὴν ΕΥ̓ΓΕΝΕΙΑΝ ΤΗΣ διὰ νὰ τὸ προσφωνήσω, καὶ τοῦτο διὰ πολλὰ αἴτια, τὰ ὁποῖα ὡς γνωστὰ τοῖς πᾶσι τὰ παρατρέχω μὲ τὴν σιωπήν, καὶ διατὶ μάλιστα εἶναι καὶ ἴδιός μου εὐεργέτης, καὶ κοινὸς πολλῶν ἄλλων εἰς τὰς ἀπερασμένας κατὰ τὴν Οὐγγροβλαχίαν ἀνωμαλίας, ἡγεμονεύοντος τοῦ πολυθρυλλήτου Μαυρογένη, παρ' οὗ καὶ οἱ κατ' ἀξίαν προβιβασμοὶ τῆς ΕΥ̓ΓΕΝΕΙ'ΑΣ ΤΗΣ, προβιβασθείσης ἐπὶ τὰ μείζω καὶ μείζω τῶν ἀξιωμάτων, εἰς παράδειγμα πολλῶν ἄλλων, καὶ ἀνταμοιβὴν τῶν ὧν πολλῶν πολλάκις τε καὶ πολλαχοῦ ὑπέστη ἀνιαρῶν, πειθόμενος τῷ ἡγεμόνι,

καὶ



καὶ πρὸς τὸ κοινὸν μόνον τῶν ἐγκατοίκων συμφέρον ἀποβλέπων.

Δεχθείητε λοιπὸν, ἌΡΧΟΝ ΣΠΑΘΑ'ΡΗ, μετ' εὐμενείας τὸν ὃν ἐγὼ μετ' εὐγνωμοσύνης τε καὶ ταπεινότητος σᾶς προσφέρω νεοτυπωθέντα παλαιὸν ΕΥ̓ΣΤΑ'ΘΙΟΝ, ἵνα καὶ αὐτὸς ὁ γλαφυρὸς Εὐστάθιος μᾶλλον γλαφυρώτερος ἀναδειχθῇ, τοιούτου φιλοκάλου, εὐγενοῦς, καὶ τὸν τρόπον ἀστείου τυχὼν τοῦ προστάτου, καὶ ἐγὼ μὴ ἀγνωμοσύνης ὀφλήσω γραφήν, τοῖς κατὰ δύναμιν σπουδάζων καὶ τοῖς ἄλλοις φανερὰν ποιῆσαι τὴν ἣν ἔχω εὐγνώμονα διάθεσιν πρὸς τὴν εὐγενείαν της, ἥτις μοι καὶ διαβιώῃ ἐς λυκάβαντας.

Τῆς εὐγενείας της

Ταπεινὸς καὶ εὐγνωμονέστατος δοῦλος
Πολυζώης Λαμπανιτζιώτης.

# Ὁ Ἐκδότης τοῖς φιλομούσοις Ἀναγνώσταις.

Τὸ ἀνὰ χεῖράς σοι δραματικὸν Σύγγραμμα, φίλτατε Ἀναγνῶστα! διαθρυλλεῖται κοινῶς νὰ εἶναι πόνημα τοῦ περιωνύμου καὶ βαθέος Εὐσταθείου ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ συγγράψαντος τὰς Παρεκβολὰς εἰς τὸν Ὅμηρον· οἱ Κριτικοὶ ὅμως τὸ ἀποδίδουν εἰς ἄλλον τινὰ Εὐστάθειον κἀκεῖνον καλούμενον, ἢ καὶ ἄλλο τυχὸν ὄνομα φέροντα, διὰ δὲ τὸ σεμνὸν τὸ, Εὐστάθειος οἰκειωσάμενον· ὡς ἂν ὁποῦ μήτε ἡ ὕλη τοῦ Συγγράμματος ἁρμόζει εἰς τὸν σοφώτατον ἐκεῖνον ἄνδρα, μήτε ἡ καθόλου ὕφη τοῦ λόγου, μήτε τὸ κατὰ μέρος ἰδίωμα ὁμοιάζει μὲ τὸ ὕψος καὶ τὴν πλοκὴν καὶ τὸ ἰδίωμα ἐκείνου· ὅθεν πολλοὶ ἀμφιβαλλομένως καὶ ἐνδοιαζόντως τὸ προσάπτουν ἀνωνύμως εἰς ἄλλους· ὁ Φαβρίκιος ὅμως μὲ ἀπόφασιν καὶ ῥητῶς

μᾶς



μᾶς ὀνομάζει εἰς τὴν ἑλληνικήν του κριτικὴν Βιβλιοθήκην Συγγραφέα τοῦ Βιβλίου κάποιον Εὐστάθειον Πρωτονωβελλήσιμον καὶ μέγαν Χαρτοφύλακα Μακροπολίτην. Καὶ ὁ μὲν πατὴρ τοῦ βιβλίου εἶναι αὐτὸς, ὁποῦ μᾶς ὀνομάζει ὁ Φαβρίκιος.

Ἐγὼ δὲ ἔχωντας πάντοτε ὑπερβολικὸν ζῆλον νὰ πλουτίζω τὸ γένος μου μὲ διάφορα βιβλία, τὰ μὲν, ὠφελείας, τὰ δὲ, διατριβῆς, τὰ δὲ, ἑκατέρων πρόξενα, ἐκδίδω καὶ τοῦτο ἰδίοις ἀναλώμασιν ἐκ τῶν ὑστερημάτων μου· μὲ τὸ νὰ μὲ ἐπαρακίνησαν πολλοὶ εὐγενεῖς καὶ ἐλλόγιμοι τῆς σφαίρας τῆς κοσμικῆς τόσον εἰς Γιάσι, ὅσον καὶ εἰς Βουκορέστι· τὸ ὁποῖον μὲ τὸ νὰ ἦτον παντάπασι διεφθαρμένον ἀπὸ τὴν ἀπειρίαν τῶν διαφόρων ἀντιγραφέων, ἐπάσχισα ὅσον ἠμπόρεσα νὰ διορθώσω τὸ χειρόγραφον, ὁποῦ εἶχον, παραβάλλωντάς το μὲ μίαν ἔκδοσιν τοῦ Παρισίου, εἰς τοὺς 1617, ὁποῦ εὑρέθη ἐδῶ εἰς τὴν καισαρικὴν Βιβλιοθήκην.

Μὰ μὴν ὤντας καὶ αὐτὴ τόσον ἀκριβὴς, ὁ Διορθωτὴς ὁποῦ τὸ παρέβαλεν, ἔπρεπε νὰ ἐκκλίνῃ εἰς μερικὰ μέρη φυλάττωντας τὴν ἔννοιαν διὰ νὰ ἔλθῃ εἰς τὸ ἀκριβέςερον, καὶ νὰ πλησιάσῃ εἰς τὴν πρώτην ἔννοιαν· ἂν ὅμως καί που εὑρεθῇ ἔλλειψίς τις, ἢ πρόσθεσις διορθώσατέ το ὅσοι εἶσθε τοῦ Καταλόγου τῶν Ἐλλογίμων, ὁμοῦ καὶ τὰ σφάλματα τοῦ τύπου, ὁποῦ ἠκολούθησαν ἀπὸ ἀμάθειαν τοῦ τυποθέτου, ὁποῦ ἦτον καινούριος εἰς ἄλλην παρὰ τὴν συνειθισμένην μου Τυπογραφίαν. Ἐπειδὴ ἡ Τυπογραφία μου ἐνασχολεῖτο εἰς τὰ ἅπαντα Συμεὼν Θεσσαλονίκης. Λάβετε λοιπὸν εὐμενῶς καὶ φιλοφρόνως, ὦ φιλόμουσοι! καὶ τοῦτο τὸ εἰς πολλοὺς ποθητὸν βιβλίον μαζὶ καὶ τὴν ἔνθερμόν μου προθυμίαν, ὁποῦ ἔχω εἰς τὸ νὰ δουλεύω τὸ γένος μου, καὶ ἀνταμείψατέ την μὲ τὰν πρόθυμον ἀπόκτησίν του, διὰ νὰ παρακινοῦμαι καὶ ἐγὼ εἰς τὸ νὰ ἐκδίδω καὶ ἄλλα ἀναγκαιότερα βιβλία. Ἔῤῥωσθε.



# ἘΥΣΤΑΘΕΙΌΥ

## ΤΌ ΚΑΘ᾽

## ὙΣΜΉΝΗΝ ΚΑῚ ὙΣΜΜΗΝΊΑΝ.

# ΔΡΑ͂ΜΑ.

## ΒΙΒΛΊΟΝ, Α΄.

Πόλις Εὐρύκωμις τἄλλα μὲν ἀγαθὴ, ὅτι καὶ θαλάσσῃ ςεφανοῦται, καὶ ποταμοῖς καταῤῥεῖται, καὶ λειμῶσι κομᾷ, καὶ τρυφαῖς εὐθυνεῖται παντοδαπαῖς· τὰ δὲ εἰς Θεοὺς εὐσεβὴς, καὶ ὑπὲρ τὰς χρυσᾶς Ἀθή-

τας· ὅλη βωμὸς, ὅλη θῦμα Θεοῖς ϗ ἀνάθημα· προκηρύσσει τὰς ἑορτὰς, πανηγύρεις ἄγει, θύει τὰ πρόσφορα ϗ Διῒ ϗ τοῖς ἄλλοις Θεοῖς.

Παρὰ δὴ ταύτῃ τῇ Εὐρυκόμιδι καιρὸς Διασίων ϗ κλῆρος ἐπὶ τοὺς Κήρυκας· ϗ τοῦτο γὰρ ἔθος τῇ πόλει, ϗ νόμος ἄγραφος, ἂν καιρὸς πανηγύρεως Ἱερᾶς· καὶ κλῆρος ἐπὶ τοὺς ἄζυγας τῶν προὐχόντων τῆς πόλεως, ϗ πρὸς ὃν ὁ κλῆρος ἐμπέσοι, Κῆρυξ στέλλεται τῇ λαχούσῃ πρότερον ἐξεφανωμένος τῇ δάφνῃ.

Κλῆρος οὖν ἐπ' ἐμὲ, ϗ στεφανίτης ἐγὼ, κάλλιστέμοι Χαρίδημε, ϗ Κῆρυξ ἱερὸς ἐς Αὐλίκωμιν· Πρόϊμι τοίνυν τοὺ ἱεροῦ περιεστεμμένος δαφνίνῳ στεφάνῳ, ἱερῷ χιτῶνι, ἀρβύλῃ σεμνῇ· δέχεταί με τὸ παρεστὼς προπομπῇ ποικίλῃ λαμπάδων, κυμβάλων, δᾴδων, προτεμπτηρείων ᾠδῶν, ὅλης ἱερᾶς προπομπῆς. Ὀρθὴ γοῦν ἡ πόλις, ϗ πᾶν τὸ ταύτης περὶ ἐμέ· ὁ μὲν, ἀσπάζεται· ὁ δὲ, περιπτύσσεται.



ται· ἄλλος ὀρχεῖταί μου πρὸ ποδῶν, ϗ κατ' ἄλλον ἄλλος τρόπον τὸν θρίαμβον ἐξυφαίνει μοι· Εἴποις ἂν ἰδὼν ποταμὸν ἐριβρύχῃ ϗ πολύῤῥουν περιῤῥεῖν με τὸν Κήρυκα· ἐν στόμα πάσῃ τῇ πόλει Κῆρυξ Ὑσμηνίας, ϗ Κῆρυξ οὐκ ἐς τυχοῦσαν, ἀλλ' ἐς Αὐλίκωμιν.

Ἧκω τοίνυν ἐπ' αὐτήν· τί γὰρ δεῖ τἀν μέσῳ φιλοσοφεῖν, ὦ 'γαθέ; ἥκω Κῆρυξ ϗ δέχεταί με τὸ πᾶν, οὐχ ὡς Κήρυκα, ἀλλ' ὡς Θεόν· συντρέχει τὸ πλῆθος, κοσμοῦσι τὰς ἀγυιὰς, μυῤῥίναις τὴν ὁδόν μοι καταπάττουσιν, ὀδμαῖς τὸν ἀέρα θολοῦσι, καταβρέχουσι τὸ παρεστὼς ῥόδων σταλαγμοῖς· ἐμὲ δὲ περιϊστᾶσι ϗ λαμπρόν τινα χορὸν τοῦτον ἑλίσσουσιν, οἷον ϗ Σωκράτην οἱ ζηλωταὶ περιεστήκεισαν. ἐφέλκονταί με πάντες πρὸς ἑαυτοὺς, εὐτυχίαν ἡγούμενοι πρὸς ὃν καταλύσαιμι, ὡς ὑπὲρ μεγάλων ἐκ μεγάλης στελλόμενον Κήρυκα.

Νικᾷ Σωθένης, ϗ ἅρμα φέρων ἄγει με παρὰ τὴν οἰκίαν, ϗ φιλοφρονεῖταί με μέγα φι-

φιλοτίμως· εἰσάγει με περὶ τὸν κῆπον· ὁ δὲ, μεϛὸς χαρίτων, ϗ ἡδονῆς· πλήρης φυτῶν, ὅλως ἀνθέων· αἱ κυπάριττοι ϛοιχηδὸν, αἱ μυῤῥίναι κατὰ ϛέγην συνηρεφεῖς· αἱ ἄμπελοι βοτρυχοῦνται τοῖς βότρυσι, τὸ ἴον προπηδᾷ τῶν φύλλων, ϗ μετ' ὀδμῆς ὡραΐζει τὴν ὄψιν· τῶν ῥόδων τὸ μὲν, προκύπτει τῆς κάλυκος, τὸ δ', ἐγκυμονεῖται, ἄλλο προκέκυφεν, ἔϛι δ' ὃ ϗ πεπανθὲν κατὰ γῆν ἐῤῥύη· τὸ κρίνον κοσμεῖ τὸν κῆπον; ἡδύνει τὴν ὄσφρησιν, τὸν θεατὴν ἐφέλκεται, ϗ πρὸς τὸ ῥόδον ἐρίζει· σὺ δ' ἂν εἰ δικαϛὴς καθίσῃς αὐτῶν, οὐκ οἶδ' ᾧ τὴν νικῶσαν ἀποχαρίσῃ.

Ταῦτ' ἰδὼν, τὸν Ἀλκινόου κῆπον ἐδόκουν ὁρᾶν, καὶ μῦθον οὐκ εἶχον τὸ τοῖς ποιηταῖς σεμνολογούμενον πεδίον ἠλύσιον· δάφνη γὰρ ϗ μυῤῥίνη ϗ κυπάριττος ϗ ἄμπελος, ϗ τἄλλα τῶν φυτῶν ὅσα τὸν κῆπον ἐκόσμει, ἢ μᾶλλον ὁ Σωσθένους ἔφερε κῆπος, ἐφαπλοῦσι τοὺς κλάδους ὡς χεῖρας. ϗ



ϗ ὥσπερ χορὸν συϛησάμενα κατοροφοῦσι τὸν κῆπον· ἐς τοσοῦτον δὲ τῷ Ἡλίῳ παραχωροῦσι προκύψαι εἰς γῆν, ἐς ὅσον ὁ ζέφυρος πνεύσας τὰ φύλλα διασείσει. ἐγὼ δ' εἶπον ἰδὼν, χρυσέαν ἐπλέξω μοι τὴν σειρὰν, Σώσθενες.

Φρέαρ ὡς εἰς πήχεις ὀρώρυκτο τέσσαρας, σφενδόνη τὸ ϛῆμα τῷ φρέατι, κιονοειδὴς αὐλὸς περὶ τὸ μεσαίτατον κέντρου λόγον ἐπέχων πρὸς τὸ τοῦ φρέατος κύκλωμα· λίθος ἦν ὁ αὐλὸς, ϗ λίθος ἑκατοντάχερους ἐκ Θετταλῆς λίθου. Φιάλη περὶ τὴν κορυφὴν τοῦ αὐλοῦ, ϗ ἐπὶ ταύτῃ κατάχρυσος Ἀετὸς ὕδωρ ἀποπτύων τοῦ ϛόματος· ἡ Φιάλη τὸ ὕδωρ ἐδέχετο· ὁ Ἀετὸς ἐξέτεινε τὸ πτερὸν, ὡς δοκεῖν ἐθέλειν λελοῦσθαι.

Ἀρτίτοκος αἲξ τοὺς ἐμπροσθίους ὀκλάσασα τῶν ποδῶν, πίνει τοῦ ὕδατος. Αἰ πόλος τῇ θηλῇ παρακάθηται· ψαύει τῶν οὐθάτων, ϗ ἡ μὲν, πίνει τοῦ ὕδατος, ὁ δ', ἀμέλγει γάλα λευκόν. Καὶ ὅσον αὕτη προ-

προσκέχηνε τῷ ποτῷ, ὁ αἰπόλος οὐκ ἐννανεύει τῆς ἀμολγῆς.

Τὸ δ' ὑπὸ τὴν θηλὴν ποιμενικὸν κισσύβιον οὐκ ἀσφαλῶς ὀχυρωθὲν τὴν περὶ τὸν πυθμένα ὀπὴν, οὐκ ἐπέχει τὴν ἐκ τῆς θηλῆς ῥοήν. Καὶ λαγωὸς τῷ κύκλῳ συνεφιζάνει, καὶ τῷ δεξιῷ τῶν ἐμπροσθίων ποδῶν ἀνορύττων ὥσπερ τὸ στόμα, πηγὴν ὕδατος ἐκεῖθεν ἀναστομοῖ, καὶ ὅλην καταβρέχει τὴν γένυν.

Συνεπικάθητο δὲ τῷ φρέατι περὶ τὸ στεφάνωμα καὶ Χελιδὼν, καὶ Ταὼς, καὶ Περιστερὰ καὶ Ἀλεκτρυὼν, ἃ πάνθ' Ἥφαιστος ἐχαλκούργησε, καὶ Δαιδάλου χεὶρ ἐτεχνούργησεν. Ὕδωρ ἐξεχεῖτο τῶν χειλέων αὐτῶν, ὃ μετὰ ψόφου ῥέον φωνὴν τοῖς ὄρνισιν ἐχαρίζετο.

Ἐψιθύριζε δὲ καὶ τὰ πέταλα τῶν δένδρων τῷ ζεφύρῳ ἀνακρουόμενα. Εἶπες ἂν ἀκούσας ἡδὺ μελίζεσθαι τὰ πτηνά.

Τὸ δέ γε καταῤῥέον ὕδωρ διειδὲς ὂν, πρὸς τὰς τῶν λίθων χροιὰς μεταβάλλετο.





Τὸν τοῦ φρέατος πυθμένα νησιώτης ἐκόσμει λίθος, λευκὸς μὲν, ἀλλ' ὑπεμελαίνετο κατὰ μέρη καὶ τὸ μελάνωμα τέχνη ἀπεμιμεῖτο ζωγράφου, ὡς ἐντεῦθεν δοκεῖν τὸ ὕδωρ κινεῖσθαι διηνεκῶς, καὶ κατακυματοῦσθαι καὶ οἷον ἀνακυροῦσθαι.

Τὰ κύκλωθεν ἐκόσμει τοῦ φρέατος λίθος Χῖος ὁ ἐκ Λακαίνης, καὶ Θετταλὸς ἑτέρωθεν, καὶ μέσοι πολύχρους τις καὶ οἷον ἑκατοντάχρους, ἐναλλὰξ ἀλλήλοις προσαρμοζόμενοι. Καὶ ἦν θέαμα καινὸν, καὶ ὅλον χάριτος· καὶ φρέαρ οὕτω ποικίλον, καὶ πτηνὰ τὸ ὕδωρ ἐκπτύοντα, καὶ Θετταλὴ φιάλη, καὶ κατάχρυσος Ἀετὸς πηγὴν φέρων ἐν στόματι.

Κλίναι ῥιζόθεν στοιχηδὸν, οὐκ ἀπὸ ξύλων, οὐκ ἐξ ἐλεφάντων, ἀλλ' ἐκ λίθων λαμπρῶν, Θετταλαὶ τὴν βάσιν, τὰς πλευρὰς Χαλκίτιδι λίθῳ περικοσμούμεναι. Ἡμισφαίρια περὶ τὰς κλίνας ὑπέκειτο, ἃ πάνθ' ὁ τεχνίτης ἐκ Πεντέλης ἐλάξευσεν εἰς πο-

δος ἀνάπαυλαν· τὰς κλίνας μυῤῥίναι πάντοθεν περιέσκεπον εὐφυῶς ἀνατεταμέναι, καὶ πρὸς ἀλλήλας συνδέμεναι, καὶ πρὸς ὄροφον οἷον ἀπευθυνόμεναι. Ταῦτα δὴ ταῦτα καὶ διορῶν, ὅλην τὴν ὄψιν ἐπιθέμην τοῖς θεάμασι, μικροῦ δεῖν καὶ ἄφωνος εἰςήκειν. Ὁ δὲ Σωσθένης πρός μέ φησιν· ἀπόθου τὸν Κήρυκα, ἀπόθου τὸν Πρεσβευτὴν, σὺν ἡμῖν ἀνακλίθητι. Ἀποθέμενος οὖν τὸν στέφανον καὶ τὸν κηρύκειον χιτῶνα, καὶ τὸ ἱερὸν πέδιλον, ἀνακέκλιμαι· συνανακέκλιται δέ μοι καὶ Κρατισθένης ἀδελφιδοῦς ἐμὸς, ἄλλος αὐτὸς· (οὕτω γὰρ ἐγὼ τὸν φίλον ὁρίζομαι) ἐξ Εὐρυκώμιδος συνεκπλεύσας μοι.

Ἀνακεκλίμεθα τοίνυν ἐγώτε καὶ Κρατισθένης καὶ Σωσθένης, καὶ Πανθία γυνή. Τὰ δὲ περὶ τρυφὰς καὶ τροφὰς, τί δεῖ κατὰ μέρος φιλοκρινεῖν; Ὑσμίνῃ παρθένῳ θυγατρὶ Σωσθένης οἰνοχοεῖν ἐγκελεύεται. ἡ δ' ἀνεζώσατο τὸν χιτῶνα, ἐγύμνωσε τὼ χεῖρε μέχρις ἀγκῶνος, τὴν περὶ ταύ-

τας



τας ὀθόνην μυρίνθῳ λεπτῇ περὶ τὸν τράχηλον ἀναδήσασα, καὶ παρακαθίσασα τῇ περιστερᾷ τὰς χεῖρας ἐνίπτετο, τοῦ στόματος τοῦ πτηνοῦ καθυπουργοῦντος τῷ λειτουργήματι. Εἶτά τι σκεῦος ἀργύρεον ἀναλαβομένη, παρὰ τὸ ῥάμφος ἄγει τοῦ Ἀετοῦ, καὶ περὶ μόνην ῥοπὴν ἐπλήρωσεν ὕδατος· οὕτω κατὰ κρουνὸν τὸ ὕδωρ κατέῤῥει· παρὰ τὸ σκεῦος ἐκτίθησι τὰ ἐκπώματα, καὶ καταπλύνασα ταῦτα λίαν ἐπιμελῶς τε καὶ φιλοκάλως, γίνεται πρὸς τῷ λειτουργήματι. Ἔπιε μὲν οὖν ὁ Σωσθένης· οὐκ ἐπειθέμε γὰρ αὐτοῦ προπιεῖν· εἶτα καὶ ἡ Πανθία συνέπιεν, ἐμὲ δὲ τρίτον εἶχε τὸ ἔκπωμα.

Ἧκεν οὖν ἡ παρθένος, καὶ παρατιθεμένη μοι τὸ ποτήριον, χαίροις ὑπεψιθύρισεν· ἐγὼ δ' ἀκούσας οὐδὲν εἶπον, ἀλλ' ἔπιον μεθ' ἡδονῆς ὅσης· ὅτι καὶ τὸ ἔκπωμα μάλα τερπνὸν, καὶ τὸ πόμα γλυκὺ, καὶ τὸ ὕδωρ διειδὲς καὶ μάλα ψυχρὸν, ὧν τί γέ-

A 5 νοι-

νοιτο ἂν ἡδύτερον ἀνδρὶ διψῶντι ἢ καυματωμένῳ ἢ ζέοντι; ἢ μετ' ἐμὲ Κρατισθένης πίει τε νέκταρος· ὅτω γὰρ ἐγὼ τὸν ἐξ Αὐλικώμιδος οἶνον καλῶ. μικρὸ προσανείχομεν ταῖς τρυφαῖς πυκναῖς ἐν σαις, ἢ πολυτελέσι τὰ μάλιςα. Καὶ πάλιν ἐπίνομεν.

Ἧκεν ὖν ἡ παρθένος ἢ ἐπ' ἐμὲ, ἢ μάλα βραχείᾳ φωνῇ ἔχεις, φησὶν, ἐξ ὁμωνύμε παρθένε τὴν κύλικα, ἢ τὸν αὐτῆς πόδα ἐπὶ τὸν ἐμὸν ἐπιτέθεικε, ἢ προσεπέθλιβεν ἐφ' ὅσον ἐγὼ τε πόματος ἔπινον. Ἐγὼ δ' ἠρυθρίων, νὴ τὰς Θεὰς, ἢ τάχ' ἂν ἢ ἀπέσκωψα πρὸς αὐτὴν, εἰ μὴ τύχῃ γενέσθαι τὸ πρᾶγμα νενόμικα.

Πάλιν ὖν ἐτρεφόμεθα ἢ πάλιν ἐπίνομεν· ἧκεν ἡ κόρη κιρνῶσα, καί μοι προὔτείνετο τὸ ποτήριον· ἐγὼ δ' ἐξέτεινα τὴν χεῖρα λαβεῖν, ἢ τῆς μὲν κύλικος ἐλαβόμην, ἡ δὲ, ὐκ ἀπέσπατο τῶν τῆς παρθένε χειρῶν· ἡ γάρ μοι παρθένος ἢ παρετίθετο τὸ ποτήριον, ἢ παρακατεῖχεν αὐτό· καὶ τῷ μὲν χήματι παρετίθετο, τῇ δ' ἀληθείᾳ κατεῖχεν. Ἔρις ἄνευ χερσὶ, ἢ χεὶρ παρθένε κόρης νικᾷ χεῖρα Κήρυκος ἀνδρὸς παρθένε. Ἐγὼ δ' αἰσχυνθεὶς τὴν ἧτταν, εἶπον πρὸς τὴν παρθένον γλώσσῃ Κήρυκος, ἐλευθέρᾳ φωνῇ, παρθένῳ ψυχῇ· ὐ βύλει μοι δῦναι; τί δ' ἄρα βύλει; ἡ δὲ, συναφαρπάζει τῷ λόγῳ τὴν χεῖρα τῆς κύλικος, ὅλη δ' ἔντρομος ἐγεγόνει, ἢ τὴν παρειὰν ὑπὲρ τὴν φύσιν ἠρυθρίατο, τὰς ὀφθαλμὺς ὅλως ἀφῆκε τῇ γῇ, ἢ ἦν ὡς ἐκ κεραυνῦ βληθεῖσά τινος, καὶ ὅλην ἐπὶ τῦ προσώπυ φέρυσα τὴν αἰδῶ.

Πανθία πρὸς τὴν κόρην ἄγει τὰς ὀφθαλμὺς ὅλως θυμῦ, ὅλως ζήλυ, ἢ πλήρεις αἵματος· εἰσβάλλει τύτυς ἐπὶ τὴν κορυφὴν τῆς παιδὸς, ἐπὶ τὰς χεῖρας, ἐπὶ τὰς πόδας, ἐπὶ τὸν τράχηλον, ὅλην ἔχει τοῖς ὀφθαλμοῖς τὴν κόρην, καθ' ὅλης θυμῦται, καθ' ὅλης ὀργίζεται, ἐρυθραίνεται

τὴν παρειὰν, ὃ ϗ παράδοξόν μοι δοκεῖ, θυμȣ͂ τικτόμενον ἔρευθος· ὠχριᾷ πάλιν, ὡς τȣ͂ παρόντος ἐρυθήματος καθ' ὅλȣ τȣ͂ τῆς Ὑσμήνης προσώπȣ καταῤῥυέντος. Ὁ δέγε Σωθένης δριμὺ πρὸς τὴν παρθένον ἰδὼν ϗ αὐτὸς, ϗ κινήσας τὴ κεφαλὴν, ἐκεῖθεν εὐθὺς ἀραρπάζει τȣ̀ς ὀφθαλμȣ̀ς, καί φησι· Διασίων καιρὸς, κατατρυφήσωμεν τὰ Διάσια, ὅλοι γενώμεθα τῆς ἑορτῆς, ὅλοι τῆς πανηγύρεως. Ζεὺς περὶ τῇ τραπέζῃ, ϗ Διὸς τράπεζα, ὅτι ϗ Κῆρυξ ȣ̓͂τος Διὸς. τῇ χειρί με παραδεικνύς. ϗ ὁ Κρατιθένης ἐγγύς μοι παρακαθήμενος πλήττει με σιγῇ τῇ χειρί· τῷ ποδὶ τὸν πόδα προσεπιθλίβει μȣ, ϗ σίγα, φησί μοι τῷ ψυθυρίσματι.

Ἐγὼ δὲ τίς γενοίμην ȣ̓κ εἶχον. Ἠρυθείων, ὠχρίων, ἐσίγων, ἐδειλίων, ὑπέτρεμον, ἠσχυνόμην ἐμαυτὸν, τὸν Σωθένη, τὴν Πανθίαν, τὴν κόρην, τȣ̀ς παρεστῶτας, ϗ τὸν ἐμὸν Κρατιθένη· τȣ̀ς ὀ-





φθαλμȣ̀ς ἐπὶ τὴν τράπεζαν ἐπεπήγειν, ἀπαλλαγῆναι ταύτης ηὐχόμην.

Ἡ κόρη ϗ πάλιν ἐκίρνα τῷ πατρὶ κελευσθεῖσα, ϗ μετὰ πατέρα Σωθένη ϗ μητέρα Πανθίαν ἧκε πρός με τὸν Κήρυκα· ὁ δὲ Σωθένης φησὶν, Ὑσμηνία Κῆρυξ, πόμα σοι τȣ͂το τῆς ἑορτῆς, ϗ πῖθι τὸν Δία τιμῶν, ϗ χαῖρε· χαῖρε τρυφῶν, χαῖρε πίνων, χαῖρε κηρύσσων Διάσια. Ἐγὼ δὲ ἀντίχαιρε Σώθενες εἶπον, ȣ̔́τω ποικίλως ἡμᾶς φιλοφρονȣ́μενος ϗ πολυτελῶς.

Ἡ δὲ κόρη παρίστατο τῇ μὲν χειρί μοι παρατιθεμένη τὸ ἔκπωμα, τȣ̀ς δ' ὀφθαλμȣ̀ς ὅλȣς τοῖς ὀφαλμοῖς μȣ συμπλέκȣσα. προτείνω τὴν χεῖρα λαβεῖν, ἡ δὲ, τὸν δάκτυλον ἐπιθλίβει μȣ, ϗ θλίβȣσα στένει, ϗ φύσημα λεπτὸν ὡς ἐκ καρδίας φυσᾷ· ἐγὼ δ' ἐσίγων τῷ Κρατιθένει πειθόμενος, ϗ ȣ̔́τω κατελύετο τὸ συμπόσιον.

Ἦγον ȣ̓͂ν ἡμᾶς ἐπὶ τὸ δωμάτιον Σωθέ-

νης, Πανθία, παρθένος Ὑσμήνη, ϗ θερά-
παιναι τρεῖς· ἡ μὲν, ἐκ τοῦ φρέατος ὕδωρ
ἔφερεν, ἡ δὲ, σκεῦός τι ἀργύρεον ἐπ' ὤ-
μων ἀνεῖχεν, ἡ δὲ τρίτη λῖνον κατὰ χιόνα
λευκόν. Ἐπέβημεν τοῦ δωματίου ϗ Σωσθέ-
νης μοι χαίροις εἰπὼν, σὺν τῇ Πανθίᾳ ᾤχε-
το· ἐγὼ δὲ ϗ Κρατισθένης ἀνακεκλίμεθα
περὶ κλίνας ὅτι λαμπρῶς ἐσταλμένας ϗ
μαλακῶς. ὑπέθηκε τὸ σκεῦος περὶ τὸν
σκίμποδα κλίνης ἐμῆς ἡ τοῦτο κατέχουσα,
ἡ ἑτέρα τὸ ὕδωρ ἐπέβαλεν, ἡ δὲ παρ-
θένος Ὑσμήνη ὀκλάσασα τὼ πόδε, ϗ λα-
βομένη μου τῶν ποδῶν, ἐκπλύνει τῷ ὕδατι·
(ϗ τοῦτο γὰρ τοῖς Κήρυξιν ἀφωσίωται)
συνέχει τούτους, κατέχει, περιπλέκεται,
θλίβει, ἀψοφητὶ φιλεῖ, ϗ ὑποκλέπτει τὸ
φίλημα, ϗ τέλος ἀμύττουσα τοῖς ὄνυξι
γαργαλίζει με. ἐγὼ δὲ τἄλλα σιγῶν
ϗ φέρων, ἄκων ἀνεκάγχασα. Ἀνένευσεν
ἡ κόρη, ϗ ἀτενῶς ἰδοῦσά με, μικρὸν ἐ-
μειδίασε, ϗ πάλιν κατένευσε, κἂν ἐγὼ
τοῖς



τοῖς ἔρωσιν οὐκ ἐπένευον. ἀπομάσσεταί μου
τοὺς πόδας τῷ μάκτρῳ ἐκ τῶν τῆς θερα-
παινίδος ἀνελομένη χειρῶν, ϗ χαίροις εἰ-
ποῦσά μοι, Κῆρυξ, ᾤχετο.

Ἐγὼ δὲ περὶ τὸν ὕπνον ἐτραπόμην εὐ-
θὺς, καρηβαρήσας ϗ τροφῇ ϗ πόσει, ϗ
πόνοις τοῖς τοῦ κηρύγματος. Περὶ δὲ τρί-
την φυλακὴν τῆς νυκτὸς ὁ καλὸς Κρατισθένης
ἐξυπνίζει με λέγων, „οὐ χρὴ παννύχιον εὕ-
δειν ἄνδρα Κήρυκα“ ἐγὼ δ' ἀπεσπώμην τῶν
ὕπνων, αἰδοῖ ϗ φιλίᾳ πειθόμενος· οἱ δ', οὐκ
ἀπεσπῶντό μου τῶν βλεφάρων· τρυφὴ γὰρ
ϗ βρῶσις ϗ πόσις ϗ κόπος ὕπνου πηγή.
Τί δὲ φῂς, ὦ Κρατίσθενες, εἶπον; τί μου
τῶν βλεφάρων τὸν γλυκὺν ἀποσπᾷς ὕπνον;
ὁ δὲ, τὰ περὶ τὴν τράπεζαν ἐζήτει μα-
θεῖν, ϗ πῶς ἀνεκάγχασα, ϗ τὴν ἐμὴν
ἐλοιδόρει γλῶτταν. „Γλώσσης, λέγων,
„φειδωλῆς θησαυρὸς ἐν ἀνθρώποισιν ἄρι-
„στος· πλείστη δέ τε χάρις κατὰ μέ-
„τρον ἰούσης.“ Ἐγὼ δὲ πρὸς αὐτὸν,
πάλ-

τἆλλα μὲν τοῦ δείπνου, Κρατίσθενες, οἶδας καὶ σὺ συνανακλινόμενος ἡμῖν καὶ πίνων τοῦ νέκταρος, τὰ δὲ περὶ τὴν ὄρφην, τοιαῦτα.

Πρῶτόν μοι φέρουσα πόμα, χαίροις ὑπεψιθύρισε. Δεύτερον ἐξ ὁμωνύμου χειρῶν δίχου, φησὶ, τὸ ποτήριον· ἠρέμα δὲ καὶ τοῦτο, καὶ τὴν ἀκοὴν ὑποκλέπτουσα· ἐς ὅσον δ' ἐγὼ ἔπινον, αὕτη τῷ ποδὶ τὸν πόδα μοι κατεπέθλιβε. Τρίτον ἔφερέ μοι πόμα, καὶ διδοῦσα πάλιν ἐπέχει· ἐγὼ δ', ὅπερ ἀκήκοας, εἴρηκα. Τὰ δ' ἐφεξῆς οἶδας, τὸν τῆς Πανθίας θυμὸν, τὴν ὀργὴν τοῦ πατρὸς, τὴν τῆς κεφαλῆς κίνησιν, τὴν αἰδῶ τῆς παρθένου, τὴν σιγὴν, τὴν ἔκπληξιν, τὸ ἐρύθημα, καὶ τἆλλα πάνθ' ὅσα πέπονθεν, ὡς ἐκ κεραυνοῦ βληθεῖσά τινος, πρὸς ἃ δὴ πάντα, νὴ τὸ σεμνὸν τοῦτο κηρύκειον, ᾐσχυνόμην αὐτὸς καὶ μᾶλλον τὴν σὴν ἐπιτίμησιν, ἥτις με παιδεύει σιγᾷν. Τέταρτον ἐπίνομεν σωτῆρι Διΐ·





καὶ πάλιν Ὑσμήνη τὸν ἐμὸν ἐπέθλιβε δάκτυλον. Ταῦτα τὰ τῆς τραπέζης.

Τὰ δὲ τῆς κλίνης ὁποῖα; νίπτει μου τοὺς πόδας, περιπλέκεται, θλίβει τοὺς δακτύλους, φιλεῖ, καὶ φιλοῦσα κλέπτει τὸ φίλημα, καὶ τέλος ἀμύσσει μου τὸ πέλμα τοῦ ποδός· ὅθεν, ὡς ἤκουσας, ἀνεκάγχασα. καὶ ὁ Κρατιθένης, τῆς εὐτυχίας! ἀνακέκραγε· παρθένος ἐρᾷ σου, καὶ παρθένος οὕτω καλὴ, σὺ δ' οὐκ ἀντερᾷς; ἐγὼ δὲ, καὶ τί ἔγνω τοῦτο τὸ ἀντερᾷν, εἴρηκα; Ὁ δὲ, καὶ πάλιν μέγα ἀνακέκραγεν, Ἡράκλεις! τῆς ἀτοπίας! τῆς ἠλιθιότητος! ἀλλ' ἵλεώς σοι ἔρως, Ἀφροδίτη τε μήτηρ, καὶ Ἴϋγγες ἐρωτικαί! Ἐγὼ δὲ τίνες οὗτοι, πρὸς τὸν Κρατιθένη φημί; τίς δέ μοι τούτων διδάσκαλος; ὁ δέ μοι, φύσιες ζῴων ἀδίδακτοι. Πάλιν οὖν ἐτράπημεν ἐπὶ τὸν ὕπνον.

# ΒΙΒΛΙΌΝ, Β΄.

Τῇ δ᾽ ὑστεραίᾳ πάλιν ἐπὶ τὸν κῆπον γενόμενοι τοὺς ὀφθαλμοὺς ταῖς χάρισιν ἐτερπόμεθα τὴν ἡδονὴν μεθέλκοντες ἐπὶ τὰς ψυχάς· ἦν γὰρ ἀγαθὸν χωρίον ὁ κῆπος, καὶ Θεῶν δάπεδον, καὶ ὅλος χάρις καὶ ἡδονή· τέρψις ὀφθαλμῶν, καρδίας παραψυχή, παραμυθία ψυχῆς, μελῶν ἄνεσις, ἀνάπαυλα σώματος. Τὰ μὲν οὖν περὶ τὸν κῆπον ὅσα, καὶ οἷα!

Τὸ δέγε θριγγίον, ἄλλο τεράστιον τοσοῦτον ὕψος αἰρόμενον, ὅσον ἀνεπίβατα τὰ τοῦ κήπου τηρεῖν καὶ ὀφθαλμοῖς καὶ ποσί. Πάντοθεν κατεχαρίτωτο χειρὶ ζωγράφου σοφῇ· παρθένοι τέσσαρες ἐγεγράφατο στοιχηδόν.

Ἡ



Ἡ πρώτη λαμπρῶς τὴν κεφαλὴν ἐστεφάνωτο· λίθοι περὶ τὸν στέφανον μάλα τηλαυγεῖς, πῦρ ἀναστράπτοντες, καὶ φῶς ἀπαυγάζοντες, ὑδάτων μεστοί, εἴποις ἰδὼν μεμίχθαι τὰ ἄμικτα, ὕδωρ καὶ πῦρ ἐν λίθῳ, καὶ ἄμφω τερπνά, καὶ ἄμφω χαρίεντα· τὸ μὲν, κυματοῦται τῷ ἐρυθήματι, τὸ δ᾽, ἀπαστράπτει.

Οὕτως ὁ τεχνίτης ἀκριβῶς τὴν φύσιν τῶν λίθων ἀπεμιμήσατο. Μάργαροι περικυκλοῦσι τοὺς λίθους κατὰ χιόνα λευκοί, σφαιροειδεῖς τὸ σχῆμα, τὸ μῆκος ὑπὲρ τὰς φύσεις αὐτῶν, οἷς ἐγὼ τοὺς ὀφθαλμοὺς ὅλους ἀποδοὺς, εἶπον μετὰ θάμβους καὶ ἡδονῆς· „χάλαζα καὶ ἄνθρακες πυρός.“ Ὁ δὲ Κρατιθένης· (παρῆν γὰρ καὶ αὐτὸς) ἀνεκάγχασέ μου τῇ παραχρήσει τοῦ ῥήματος.

Ὁ πλόκαμος εὐρύως περὶ τοὺς ὤμους ἥπλωτο τῆς παρθένου, καὶ βοστρυχοῦται μὲν ὡς εἰκὸς, ὑποχρυσίζει δὲ τὸ

Βο-

βοστρύχωμα. Ὁρμίσκος περὶ τὸν τράχηλον ἐξ ἀργυρίου μετὰ σιγμάτων χρυσίου. Ὑάκινθος ὁ πόρπαξ αὐτῷ. Χεῖρες τῆς παρθένου λευκαί, καὶ ὄντως παρθενικαί. Ἡ μὲν δεξιὰ ταθεῖσα καὶ εὖ κυρτωθεῖσα, τῆς κεφαλῆς ἥψατο τῷ δακτύλῳ, καὶ τοῦ περὶ τὸ μέτωπον ἄνθρακος. Ἡ δὲ λαιὰ σφαιρίδιόν τι κατέχει περιτερπές. Ὁ δεξιὸς ποῦς ἀσάνδαλος τῇ παρθένῳ· τὸν γάρ τοι λαιὸν ἀπεκάλυπτε τὸ χιτώνιον· ὅλος ὁ χιτὼν ἀκαλλής, καὶ οἷον ἀγροικικώτερος· τὸν γὰρ πάντα κόσμον περὶ τὴν κεφαλὴν τῆς κόρης ὁ τεχνίτης ἐκένωσε, τὰ δ' ἄλλα ὡς ἔτυχε κατεπεχρώσεν.

Ἡ μετ' αὐτὴν παρθένος καὶ τῇ τάξει δευτέρα, ὅλη στρατιῶτις πλὴν τοῦ προσώπου· εἰ μὴ δ' ὅτι καὶ τοὺς ὀφθαλμοὺς ἀγριωτέρους ἢ κατὰ παρθένον ἰδεῖν. Κόρυς περιαστράπτει τὴν κεφαλὴν, καὶ ταύτην κατακοσμεῖ· θυρεὸς τὸ στέρνον, φολιδωτὸς χιτὼν τὸ μετάφρενον, μίτρα τὴν ζώνην· τὸν ταρ-

σὸν



σὸν, τὴν χεῖρα, καὶ τἆλλα τῶν μελῶν στρατιωτικῶς κατεπέφρακτο. Ἡ χεὶρ κατὰ δρῦν παχεῖα· οἱ δέγε δάκτυλοι πρὸς τὸ παρθενικὸν ἐγεγράφατο. ἐν ὅσοις τῶν μελῶν ἐγυμνοῦτο, ὅλη παρθένος ἦν ἡ στρατιῶτις· ἐν ὅσοις δὲ κατεπέφρακτο, ὅλην στρατιῶτιν τὴν παρθένον ὁρᾷς. Ἀσπὶς τῇ λαιᾷ τῇ παρθένῳ, εἰ δέγε βάλει, τῇ στρατιώτιδι· τῇ δ' αὖ ἑτέρᾳ δολιχὸν ἔγχος γραφεῖον Ἄρεος.

Ἡ δὲ μετ' αὐτὴν, ὅλη παρθένος, ὅλη σεμνὴ τὸ σχῆμα, τὴν ὄψιν, τὸν χιτῶνα, τὸ πέδιλον, ἐστεφανωμένη τὴν κεφαλὴν, οὐκ ἐκ λίθων κατὰ τὴν πρώτην, οὐκ ἐκ μαργάρων κατὰ τὴν ἐξ ἀρχῆς, ἀλλ' ὅλοις φύλλοις, ἀλλ' ὅλοις ἄνθεσι. Ῥόδον οὐκ εἶχεν ὁ στέφανος, ἢ λαθομένου τοῦ τεχνίτου, ἢ φεισαμένου τῶν χρωμάτων ἡττωμένων τῆς τοῦ ῥόδου βαφῆς. Ὁ πλόκαμος τῇ κόρῃ κατεχεῖτο μικρὸν, καὶ αὖ περὶ τὸν στέφανον ἀνεδέδετο. Λευκὴ καλύπτρα τὴν κε-

φα-

φαλὴν, ϗ τὰ περὶ τὸ μέτωπον κατεκάλυπτεν· ἀραχνώδης ὁ χιτὼν τῇ παρθένῳ, τὸ χρῶμα λευκὸς, ποδήρης τὸ σχῆμα ϗ ὅλος πλατύς. Ἡ δεξιὰ τῶν χειρῶν δεξιῶς ἐπικειμένη τῷ στήθει, τὸν ὁμώνυμον κατακαλύπτει μαζόν· οἱ δάκτυλοι τὸν λαιὸν ὅλον περικαλύπτουσι κατεπικείμενοι ϗ φυλάσσοντες· ἄμαστον εἴποις ἰδὼν γεγράφθαι τὴν κόρην. Ἡ δ᾽ ἑτέρα χεὶρ τὸ χιτώνιον ἀνέχει πρὸ τῶν μηρῶν· ὁ γὰρ Βορρᾶς ἐδόκει πνεῖν κατὰ μέτωπον, ϗ τὸ πολὺ τοῦ χιτῶνος περὶ τὴν πτέρναν ἐξέχυσεν. Οὕτως ἡ κόρη σεμνὴ ϗ τὸ πνεῦμα θρασὺ, ϗ λεπτὸν τὸ χιτώνιον. „Διά γάρ τοι παρ-
„θενικῆς ἁπαλόχροος οὐ διάησιν αἰθρηγε-
„νέτης Βορρᾶς." Ὁ δεξιὸς τῶν ποδῶν περὶ τὸν ἕτερον στρέφεται ϗ κατεπίκειται, ϗ συμπλέκεται μηρὸς ἐν μηρῷ, ϗ ὅλος ποῦς ἐν ποδὶ, ἵνα μὴ τῷ λεπτῷ τοῦ χιτῶνος τὸ σῶμα διαφωτίζηται. Μέλαν τὸ πέδιλον τοῖν ποδοῖν, ϗ ἀσφαλῶς ἐσκευα-

σμέ-



σμένον, ϗ μὴ κατὰ παρθένον ἠμφιεσμένον.

Ἡ τετάρτη ϗ τελευταία ἐξ ἄρτι ῥαγέντος νέφους ἀπορρυῆναι δοκεῖ, ϗ ὡς ἐξ οὐρανοῦ διακύπτει, ϗ ὅλη αἰθέριος, τὸ σχῆμα σεμνὴ, χαρίεσσά μοι τὸ πρόσωπον, ἐρυθρὸς ὁ χιτὼν, ἀλλ᾽ ἔχει τι ϗ λευκότητος· εἰ δὲ τοῦ σώματός ἐστι τὸ λευκὸν ϗ διαρρεῖ τὸν χιτῶνα, ὁ τεχνίτης οὐκ ἀφῆκεν ὁρᾶν· θρὶξ πᾶσα τῆς κόρης εὐφυῶς συνῆκται περὶ τὸ μέτωπον. Τοὺς ὀφθαλμοὺς ἔχει πρὸς οὐρανόν· Στάθμη ϗ Φλὸξ ταῖν χεροῖν ἡ μὲν ἐπὶ δεξιὰ, ἡ δ᾽ ἐπ᾽ ἀριστερά. Τὼ πόδε μέχρι ϗ κνημῶν ἐξέφυγεν ὁ χιτών· οὕτω μὲν οὖν εἶχον αἱ γυναῖκες. Τὸ δὲ περὶ ταύτας δρᾶμα, ϗ τίνες αὗται ἐζητοῦμεν φιλοπονώτερον.

Γράμματα τοίνυν ὁρῶμεν ὑπὲρ τὰς κεφαλὰς τῶν παρθένων, ἃ πάντ᾽ ἦσαν ἰαμβεῖον ἓν εἰς τέτταρα τετμημένον, ϗ ταῖς παρθένοις τὰς κλήσεις ἀφοσιούμενον· τὸ δ᾽ εἶχεν οὕτω.

„Φρόνησις, Ἰσχὺς, Σωφροσύνη, ϗ Θέμις

ἐν-

ἐντεῦθεν ἐφιλοσοφῶμεν περὶ τὰ τῶν γυναικῶν σχήματα, καὶ τὰ μέχρι τοῦδ' ἡμῖν κατελαμβάνομεν ἀκατάληπτα· τὸν λαμπρὸν στέφανον τῆς πρώτης παρθένου, τοὺς περὶ τὸν στέφανον λίθους, τοὺς μαργάρους, τὸν περὶ τὴν δέρην χρυσὸν, τὸν ἄργυρον, τὸν ὑάκινθον, τὸ σχῆμα τῆς κόρης, τὸ σχῆμα τῆς δεξιᾶς χειρὸς μονονοὺ λεγούσης ὡς ἐνταῦθα τὸν ὄλβον ἔχω περὶ τὴν κεφαλήν· τὸ περὶ τὴν λαιὰν σφαιρίδιον ὡς συνέχει τὸ πᾶν, καὶ τὸ τοῦ χιτῶνος ἀπερικόσμητον, ὡς πάντα, πλὴν τῆς κεφαλῆς, ἀκοσμήτως ἡ Φρόνησις ἔσταλται.

Τὸ στρατιωτικὸν σχῆμα τῆς μετ' αὐτὴν, τὴν ἐν στρατιώτιδι παρθένον, καὶ αὖ τοὐναντίον τὴν ὅλην στρατιῶτιν, τὴν ὅλην παρθένον. Ἀνδρεία γὰρ ὡς τῇ φύσει στρατιῶτις, καὶ τῇ κλήσει παρθένος. ὅθεν ἐν οἷς μὴ περιφράττοιτο στρατιωτικῶς, ὅλη παρθένος ἐστὶ καὶ κλήσει καὶ σώματι· ἐν οἷς δὲ τὴν Ἰσχὺν ὑπαινίττοιτο, ὅλη στρατιῶτις ἡ παρθένος ἐστί· καὶ ὡς ἐν τῇ φύσει τὴν κλῆσιν ὁ



ὁ ζωγράφος παρεφυλάξατο, οὕτω κἀν τῇ κλήσει τὴν φύσιν ὅλην ὑπεχρωμάτισε.

Τῆς ἑτέρας καὶ τρίτης τὸν ἐξ ἀνθέων στέφανον, τὸν ἐξ ἀμαράντων φυτῶν, τὴν συστολὴν τοῦ πλοκάμου, τὴν καλύπτραν τῆς κεφαλῆς, τὴν περιστολὴν τῶν στέρνων, τὴν φυλακὴν τῶν μαστῶν, τὸν ἐπὶ τῷ μηρῷ μηρὸν, τὴν καὶ μέχρι πνεύματος σωφροσύνην, καὶ τἄλλα πάνθ' ὁπόσα πανευφυῶς ὁ τεχνίτης τῇ φίλῃ μοι παρθένῳ προσήρμοσε. Περιπτύσσομαί σου τὴν χεῖρα γραφεῦ! ἀσπάζομαι τὴν γραφίδα, χάριν ὁμολογῶ σοι πρός γε τοῖς ἄλλοις ὅτι μὴ τῷ στεφάνῳ τῆς ὄντως παρθένου τὸ ῥόδον συνέπλεξας· οὐδὲν γὰρ κοινὸν Σωφροσύνῃ καὶ ῥόδῳ αἰσχρῶς βαφέντι, κἀκ τῆς αἰδοῦς ἐρυθραινομένῳ τὸ πρόσωπον.

Τῆς τετάρτης τὸ διακύπτον ἐξ οὐρανοῦ, τὸ αἰθέριον, τὸ ἀπερικάλυπτον, τὸ λαμπρὸν τοῦ προσώπου, τὰ τῆς δίκης ζυγὰ, καὶ τἄλλ' ὁπόσα προσφόρως ὁ τεχνίτης τῇ Θί-

Θέμιδι προσεφήρμοσε· Δικαιοσύνη γὰρ ἐξ ȣρανȣ̃ διακύπτει, ϗ ταλαντεύει τὰς κρίσει, ϗ πρὸς ȣρανὸν ἀπευθύνει τȣ̀ς ὀφθαλμȣ̀ς, ϗ ȣ̓δὲν ἀνθρώπινον ἔχει.

Μετάγομεν τȣ̀ς ὀφθαλμȣ̀ς ἐπὶ τὴν μετὰ τὰς παρθένȣς γραφὴν, ϗ δίφρον ὁρῶμεν ὑψηλὸν ϗ λαμπρὸν ϗ ὄντως βασιλικόν. Κροίσȣ ὁ δίφρος ἐκεῖνος, ἢ πολυχρύσȣ Μηκήνης Τυράννȣ τινός· τῷ δ' ἐπεκάθητο μειράκιον τερατῶδες, γύμνωσιν παντελῆ καθ' ὅλȣ φέρον τȣ̃ σώματος, πρὸς ὃ βλέπων, ἠσχυνόμην αὐτὸς, ϗ τȣ̃ ἔπȣς ἐμνήσθην „Ὡς τὸ μὴ φρονεῖν κάρτ' ἀνώδυνον κακόν" τόξον ϗ πῦρ περὶ τὼ χεῖρε τȣ̃ μειρακίȣ, φαρέτρα περὶ τὴν ὀσφὺν, ϗ σπάθη ἀμφίκοπος· τὼ πόδε μὴ κατ' ἄνθρωπον ἦσαν τῷ μειρακίῳ, ἀλλ' ὅλον πτερόν· τὰ δέγε περὶ τὴν κεφαλὴν ȣ̃τω τερπνὸν τὸ μειράκιον, ὑπὲρ πᾶν μειράκιον, ὑπὲρ πᾶσαν παρθένον· Θεῶν ἄγαλμα, εἴδωλον Διὸς, ὅλος κεσὸς Ἀφροδίτης, ὅλος χαρίτων λειμὼν,





ὅλον ἡδονή· ἂν Θέτιδος γάμος, ἂν Ἥρα περὶ τὸν γάμον, ἂν Ἀφροδίτη, ἂν Ἀθηνᾶ, ἂν ϗ τȣτοῖ τὸ μειράκιον, ἂν Ἔρις κυκᾷ τὸ συμπόσιον, ἂν μῆλον ῥίπτῃ, ἂν τὸ μῆλον ζητῇ λαβεῖν τὴν καλὴν (ὡς ὑπερέχȣσαν τȣ̃ κάλλȣς) ἂν Πάρις κριτὴς, ἂν τὸ μῆλον ἆθλον τȣ̃ κάλλȣς, ἔχεις τὸ μειράκιον τȣ̃το. Καὶ πρὸς τὸν Κρατισθένην εἶπον· ὡς ἄρα χεὶρ ζωγράφȣ καινόν τι χρῆμα! τὰ ὑπὲρ φύσιν τερατȣργεῖ ϗ πλάττει τῷ λογισμῷ, ϗ τὰ πλάσματα τεχνȣργεῖ. Εἰ δέγε βȣ́λει φιλοσοφήσωμεν. Τὸ μειράκιον ἀγχίθυρον ταῖς ἀρεταῖς· ϗ αἱ κακίαι ταύταις παραπεπήγασι· πρὸς τȣ̃το δὴ γνωμάτευμα τὸ μειράκιον ἀναπέπλασαι, ϗ τέχνη τὸ πλάσμα πρὸς φύσιν μετήγαγεν. Ἔχω σȣ τεχνῖτα τὸ αἴνιγμα, ἔχω σȣ τὸ δρᾶμα, εἰς αὐτόν σȣ βάπτω τὸν νȣ̃ν, κᾂν Σφίγξ γένῃ, Οἰδίπȣς ἐγώ· κᾂν ὡς ἐκ Πυθικῆς ἐσχάρας ϗ τρίποδος αἰνιγματωδῶς ἀποφοιβάζῃς λοξὰ, πρόσπολος ἐγώ σοι, ϗ

διασαφῶ τὰ αἰνίγματα· τὰ δ' ἐφεξῆς ὁποῖα;

Ὅλος στρατὸς παρειστήκει τῷ μειρακίῳ, ὅλαι πόλεις, χορὸς σύμμικτος ἀνδρῶν, γυναικῶν, πρεσβυτῶν, μειρακίων, παρθένων, γραῶν, Βασιλεῖς, τύραννοι, δυνάσται, κρατοῦντες γῆς ὡς δοῦλοι παρίστανται· οὐκ ἴσα καὶ Βασιλεῖ, ἀλλ' ἴσα Θεῷ· Καὶ γυναῖκες δὲ ταῖς χερσὶν ἀλλήλαις συνδούμεναι, τὸ μῆκος ὑπὲρ γυναῖκας, ὑπὲρ τὸν Ἰαπετὸν τὸν χρόνον, καιναὶ τὴν ὄψιν, καιναὶ τὴν ῥυτίδα, καιναὶ τὸ σχῆμα, καιναὶ τὴν χροιάν· ἡ μὲν, ἡλιοειδὴς καὶ ὅλη λευκή· λευκὴ τὴν τρίχα, λευκὴ τοὺς ὀφθαλμοὺς, λευκὴ τὸ χιτώνιον, τὸ πρόσωπον, τὼ χεῖρε, τὼ πόδε, τὰ πάντα λευκή· ἡ δ' ἑτέρα, τὰ πάντα μέλαινα καὶ τρίχα καὶ κεφαλὴν καὶ τὸ πρόσωπον, χεῖρας καὶ πόδας καὶ τὸ χιτώνιον· ἴσαι τὴν ἡλικίαν διάφοροι τὴν χροιάν· ἴσαι τὴν ῥυτίδα, τὸ γένος διάφοροι· ἡμὲν γὰρ, ὡς ἐξ





Ἀχαΐδος καλλιγύναικος· ἡ δ', ὡς ἐκ κεκαυμένης Αἰθιοπίας.

Παρίσταται καὶ πλῆθος πτηνῶν, καὶ φέρον ἐλεύθερον τὸ πτερὸν, ὡς δοῦλον παρίσταται· ὅλον γένος Ἀμφιτρίτης Νεπόδων δουλογραφεῖται τῷ μειρακίῳ· καὶ θὴρ Βασιλεὺς θηρίων, μετὰ παντὸς θηρὸς ὁμόδουλος παρίσταται. Ἐγὼ δὲ πρὸς τὸν Κρατιθένη· πῶς οὐ πτερύσσεται τὸ πτηνὸν ἀνέτῳ πτερῷ, ἀλλὰ δουλαγωγεῖται καινῶς οὕτω καὶ ὑπὲρ τὴν φύσιν; θὴρ λέων ὠμηστὴς Βασιλεὺς θηρίων, δοῦλος τῷ μείρακι καὶ ταῦτα γυμνῷ, ὃν φρίσσει καὶ θὴρ, καὶ οἷος ὁ πλίτης; ὄνυξ δὲ ποῦ καὶ βλοσυρὸν ὄμμα, καὶ λάσιον στέρνον, καὶ πρὸ πάντων τὸ φρικτὸν καὶ ἄγριον βρύχημα; φρικτὸν γένος· παρίσταται γὰρ καὶ τοῦτο, καὶ πᾶς δυνάστης, πᾶς τύραννος οὐκ ἀρκεῖ πρὸς μόνον μειράκιον ὅλον γυμνόν· ἰχθὺς, ἢ πᾶς θαλάσσιος θὴρ, τίμοι φρίσσει τοῦ μειρακίου; τὸ πῦρ; ἀλλὰ πά-

λιν ὅλας ἔχει θαλάσσας, ὅλον βυθὸν, πολέμιον πυρός· τὸ τόξον; τὸ πτερὸν; εἶτ' οὐκ ἀμβλύνεται τῷ βυθῷ; βαβαί μοι τῶν γυναικῶν! βαβαί μοι τοῦ θαύματος! βαβαὶ τῆς ἡλικίας! βαβαὶ τῶν ῥυτίδων! βαβαὶ τοῦ σχήματος, τῆς δουλοπρεπείας! ὦ Ζεῦ ϗ Θεοί! ὡς ἀληθῶς τέρας ἡ γραφὴ, νοῦ πλάσμα, ϗ χειρὸς ζωγράφου τεχνούργημα. Ἀλλ' ἴδωμεν, εἰδόκει, ϗ τὰ ὑπὲρ τὴν τοῦ μειρακίου κεφαλὴν γεγραμμένα ἰάμβεια οὕτως ἔχοντα,

„ Ἔρως τὸ μειράκιον ὅπλα, πῦρ φέρον,

„ Τόξον, πτερὸν, γύμνωσιν, ἰχθύων βέλος.

ϗ ὁ Κρατισθένης· οὐκ ἔτι σοι τὰ τῶν ἐμῶν ἀμάρτυρα λόγων· τίς ὁ Ἔρως ἠρώτας; ἰδού μοι βλέπεις αὐτόν· ἀλλ' εὐμενής σοι τὰ εἰς πεῖραν ἥκοιτο. Ἐγὼ δὲ πρὸς αὐτόν, σύ μοι τὰ περὶ τὴν γραφὴν φιλοσόφει, ϗ τῇ γραφῇ προσάρμοττε τὸ ἐπίγραμμα· ὁ δὲ Κρατισθένης· ὁ Ἔρως γυμνὸς ὁπλοφόρος, πυρφόρος, τοξότης, πτερωτός· ὅπλα φέρει κατ' ἀνδρῶν, πῦρ κατὰ γυ-



γυναικῶν, τόξα κατὰ θηρῶν, κατὰ πτηνῶν τὸ πτερὸν, τὴν γύμνωσιν κατὰ τῶν ἐν θαλάσσῃ, ϗ καθ' ὅλης αὐτῆς. Ἡμέρα ϗ Νὺξ, ὡς ὁρᾷς, δουλεύει τῷ Ἔρωτι· αὗται γὰρ αἱ γυναῖκες, ἃς σὺ θαυμάζεις ὁρῶν. Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην· μηδὲ γινώσκοιτό μοι.

Ἧκεν ὁ Σωσθένης· περὶ τὸ δεῖπνον ἀνακεκλίμεθα· ϗ πάλιν ἡ παρθένος ἐπὶ τῷ λειτουργήματι· ϗ πάλιν τοὺς ὀφθαλμοὺς ἐπ' ἐμὲ, ϗ κατὰ μέτωπον στᾶσά μου ϗ τὸν τράχηλον ἠρέμα μικρὸν ὑποκλίνασα, καθυποκλέπτει μοι τὸ προσκύνημα· ϗ τοὺς δακτύλους ἐπιθεῖσα τῷ χείλει, σιγᾶν ἐπιτρέπεται· ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην· ὁρᾷς; τί ταῦτα; ὁ δέ γε σίγα φησίν.

Ἧκεν ἡ κόρη κιρνῶσα· ϗ χαίροις συνώνυμέ μοι Κῆρυξ ὑπεψιθύρισε· ϗ μετ' ἐμὲ τῷ Κρατισθένει κιρνῶσά φησιν, εἴτι δεῖ φωνὴν ἐκεῖνο καλεῖν τὸ ψιθύρισμα· ὀφείλω σοι χάριτας. Τρυφαὶ δὲ ϗ πάλιν ἐπὶ τὴν

τρά-

τράπεζαν, οὐκ ἐξ ὑγρῶν οὐκ ἐκ θαλάσσης ἁπλῶς, ὡς οἶδε τρυφᾷν Ἠπειρώτης ἀνὴρ καὶ παράλιος, ἀλλ' ὅσας χεὶρ καὶ τέχνη μαγείρων ἐσκεύασεν· ὡς ἰχθῦς ἐξ ἀγροῦ, καὶ ὡς ἐκ θαλάσσης ταών. Οὕτω πολυτελὲς ἡμῖν τὸ δεῖπνον, οὕτω λαμπρὸν, οὕτω χαρίεν, ὡς ἡδύνειν καὶ ὀφθαλμοὺς καὶ λαιμόν. Καὶ πάλιν ἐπίνομεν· τροφὴ γὰρ πολυτελεστέρα ζητεῖ καὶ πόσιν ἀνάλογον· καὶ πάλιν ἡ κόρη κιρνῶσα, προεκροφᾷ μου τοῦ ποτηρίου, καὶ διδοῦσα πάλιν φησὶ τῇ συνήθει φωνῇ· ὡς τὴν κλῆσιν ἐκ τύχης, οὕτως ἐξ Ἔρωτος τὴν πόσιν κοινοῦμαί σοι· ἱκανῶς οὖν τῆς τραπέζης κατατρυφήσαντες, καὶ τροφαῖς ποικίλαις, καὶ παντοδαποῖς καρυκεύμασι, καὶ πόσει, καὶ πολυειδέσι ποπάνοις, λύομεν τὸ συμπόσιον· καὶ ὁ Σωσθένης φησίν· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι· καὶ τὰ πρόσφορα τῇ νυκτὶ χαρισώμεθα· καὶ, χαίροις, εἰπών μοι, σὺν τῇ Πανθίᾳ ᾤχετο.

Ἡ γοῦν Ὑσμήνη προσκόψαι τὸν πόδα ὑπο-

κρι-



κριθεῖσα, καὶ Σωσθένους πατρὸς, καὶ μητρὸς Πανθίας μικρὸν ἐλθοῦσα δευτέρα, χαίροις, εἰποῦσα. καὶ πείσθητι τῷ πατρὶ, ᾤχετο καὶ αὐτή· ἐγὼ δ' καὶ Κρατισθένης ἀνακλιθέντες τὰ περὶ τὸ δεῖπνον καὶ τὴν κόρην ἀνεκοινούμεθα· ὡς προσκυνοῦσά μου κλέπτει τὸ προσκύνημα· ὡς ἐπιτίθησι τοὺς δακτύλους τῷ στόματι σιγᾶν ἐπιτρέπουσα· ὡς διδοῦσά μοι τὸ ποτήριον, χαίροις συνώνυμε Κῆρυξ ὑπεψιθύρισεν· ὡς κιρνῶσα προεξεῤῥόφησεν· ὡς εἶπε πάλιν ἐπὶ τῷ δευτέρῳ μοι πόματι· καὶ τὴν πόσιν ἐξ Ἔρωτος, ὡς τὴν κλῆσιν ἐκ τύχης κοινοῦμαί σοι· καὶ τέλος τὸ περὶ τὸν πόδα πλάσμα, καὶ τὸ, πείσθητι τῷ πατρί· καὶ ὁ Κρατισθένης· Ἔρως ὅλην σοι τὴν παρθένον ἐξέκαυσεν· Ἔρως ἐξετυράννησεν· ἐρώσης ταῦτα ψυχῆς καὶ γλώσσης πυρπολουμένης ἐξ Ἔρωτος· σὺ δὲ μέχρι πότε λειποταξίᾳ κλαθήσῃ τῷ Ἔρωτι; ποῦ δὲ καὶ φύγῃς αὐτόν; εἰς οὐρανόν; ἀλλὰ φθάνει σε τῷ πτερῷ· εἰς θάλασσαν; ἀποδύσῃ δὲ

 τὸν

τὸν χιτῶνα; ὁ δέ σοι προαπεδύσατο· κατὰ Γῆν; τῷ τόξῳ φθάνει· εἶδες τὸν Ἔρωτα; εἶδες τὸ πῦρ; τὰ τόξα; τὴν γύμνωσιν; τὸ πτερόν; εἶτα σὺ μόνος ἐλεύθερος Ἔρωτος; σὺ μόνος; Ἐγὼ δὲ πρὸς τὸν Κρατιθένην; ἔα με σωφρονεῖν, ὦ 'γαθέ· τοὺς γὰρ σώφρονας Θεοὶ φιλοῦσι, ϗ συγοῦσι τοὺς κακούς· ϗ σιγήσαντες περὶ τὸν ὕπνον ἐτράπημεν.







# ΒΙΒΛΙΟΝ, Γ'.

Καὶ δή με περὶ μέσην νύκτα κατακοιμώμενον, ἐνύπνιον ἦλθεν ὄνειρος μάλα φοβερός· ὁρῶ γὰρ περὶ τὸ δωμάτιον εἰσιὸν πλῆθος ἐκ εὐαρίθμητον, ὄχλον σύμμικτον ἀνδρῶν, γυναικῶν, νεανίσκων, παρθένων. Λαμπαδηφόροι πάντες τὴν δεξιάν· τὴν γάρ τοι λαιὰν περὶ τὸ στῆθος εἶχον δουλοπρεπῶς· ϗ μέσον τὸ περὶ τοῦ κήπου θελγκίον, μειράκιον τὸν γεγραμμένον Ἔρωτα, τὸν βασιλέα, τὸν φοβερὸν ἐκεῖνον ἐπὶ τοῦ χρυσοῦ ϗ πάλιν δίφρου καθήμενον· ὡς ἐκ βροντῆς δέ μοι κατεῤῥάγη φωνή· πρὸς ἡμᾶς· τὸν δυνάστην, τὸν ἐλεύθερον, τὸν μὴ φρίσσοντά με τὸ βέλος, τὸν μὴ φοβούμενον τὸ πτερὸν, τὸν λοιδοροῦντα τὸ πῦρ, τὸν αἰσχυνόμενόν με τὴν γύμνωσιν, τὸν ὡς μειρακίου καταμω-

κείμενον, τὸν ἀσπαζόμενον τὸν ζωγράφον, εἰ τὸ ῥόδον βδελύξοιτο· τὸν τὴν ἐμὴν φίλην Ὑσμήνην αἰσχύναντα, ὃν ὡς σώφρονα φιλοῦσι Θεοί.

Ἐγὼ δ' εἱλιόμην ἐλεεινῶς, ὅλος ἔντρομος, ὅλος ἄφωνος, ὅλος νεκρὸς καὶ κατὰ Γῆν κείμενος. Φεῖσαι Βασιλεῦ! ἀκάω φωνῆς· καὶ μικρὸν πρὸς ἐμαυτὸν γεγονὼς, καὶ τοὺς ὀφθαλμοὺς ἀνατείνας, ὁρῶ τὴν Ὑσμήνην ἐστεφανωμένην ῥόδῳ τὴν κεφαλὴν, ῥόδον τῇ δεξιᾷ φέρουσαν, τῇ λαιᾷ ἐχομένην τῶν ποδῶν τοῦ Βασιλέως, καὶ φεῖσαι, λέγουσαν, Ὑσμηνίου, φεῖσαι Βασιλεῦ δι' ἐμέ! Ἐγώ σοι τοῦτον δουλογραφήσω· καὶ πρὸς τὴν Παρθένον ὁ Βασιλεὺς, διὰ σὲ καὶ ὠργίσθην, διὰ σὲ διαλλάσσομαι· ἡ δ', εὐθὺς λαβομένη μου τῆς χειρὸς, ἐξανέστησε θαῤῥεῖν ἐπιτρέψασα. Καλεῖ με τοίνυν ὁ Βασιλεὺς τῇ χειρὶ, καὶ στεφανοῖ με ῥόδῳ τὴν κεφαλήν· τὸ δὲ παρεστὼς ἅπαν ἠλάλαζεν, ἐκροτάλιζεν, ὠρχεῖτο· ὁ μόδουλος Ὑσμη-

νίας



νίας, λέγον, ἡμῖν ὁ Κόσμος, ὁ παρθένος, ὁ τὴν καλὴν Ὑσμήνην αἰσχύνας·

Ὁ δὲ Βασιλεὺς Ἔρως πρὸς τὴν ἐμὴν Ὑσμήνην εἰπὼν, ἔχεις τὸν ἐραστὴν, ἀπέπτη μου τῶν ὀφθαλμῶν, ὅλος περὶ μέσην μου τὴν καρδίαν πεσών· συναπέπτη δέ μου καὶ ὁ ὕπνος εὐθὺς, καὶ δὴ θορυβημένος ὅλος, ἀνεπήδησα τῆς στρωμνῆς, καὶ ἤμην ὅλος ἐξεστηκὼς, ὅλος ὅλον ἐλίττων κατὰ νοῦν τὸν ὄνειρον· πυκνὸν κατεπάλλετό μοι τὸ περικάρδιον, καὶ τὸ ἆσθμα ἐπείχετο, καὶ πρὸς τὸν Κρατισθένην ἔλεγον· ὦ Κρατίσθενες, ὦ Κρατίσθενες! ὁ δὲ ἀνεπήδησε τῆς στρωμνῆς. Ἐγὼ δὲ πάλιν εἶπον, ὀλώλειν, Κρατίσθενες! ὁ δ' ἀσανδάλῳ ποδὶ πρὸς τὴν ἐμὴν ἐπεπήδησε κλίνην, καὶ τῆς δεξιᾶς με χειρὸς προσλαβόμενος, τί πάσχει ὁ καλὸς Ὑσμηνίας, φησίν; ἐγὼ δ' ἐσίγων· ὁ δέ μοι δακρύσας, πάλιν φησὶν, Ὑσμηνία, τί πάσχεις; Ὑσμηνία σιγᾷς; ἐγὼ δ', ὀλώλειν, εἶπον, Κρατίσθενες·

 Ὑσμή-

Ὑσμίνη μ' ἀπόλλυσιν, Ὑσμίνη με σώζει· ὅλην φαρέτραν Ἔρως ἐξεκένωσέ μου κατὰ ψυχῆς· ὅλην μου τὴν καρδίαν ἐνέπρησεν· εἴσοι παρῆν ἰδεῖν, εἶδες αὐτὸν σὺν αὐτοῖς ὅπλοις, σὺν αὐτῇ φαρέτρᾳ, σὺν ὅλῳ πυρὶ τὴν ἐμὴν εἰσδύντα ψυχήν· οὐκ ἔτι Διασίων Κῆρυξ ἐγώ, οὐκ ἔτι θεράπων Διός, οὐκ ἔτι Παρθένος· πόλεμος περὶ τὴν ἐμὴν ἐῤῥάγη καρδίαν ἐξ Ἔρωτος, καὶ Διός·

Ὁ μὲν δὴ Ζεὺς ἐξ οὐρανοῦ μεγάλου βροντᾷ, ὁ δ'· ὡς ἀπὸ γῆς ὅλης ἐπολέμει, κινεῖ καὶ κατασείει μου τὴν ἀκρόπολιν· ὁ μέν, ὡς ἐκ νεφῶν ἀστραποβολεῖ, ὁ δ', ὅλους κρατῆρας πυρὸς ὡς ἀπὸ Γῆς ὑπανάπτει μοι· πόλις ἐγώ, καὶ πόλις Διός· ἀλλ' Ἔρως πολιορκεῖ, καὶ πρὸς ἑαυτὸν ὅλην μεθέλκεται· Διὸς ἐγὼ πηγή, μεστὴ Χαρίτων παρθενικῶν· ἀλλ' Ἔρως πρὸς πηγὴν Ἀφροδίτης μετοχετεύει με· Διασίων Κῆρυξ ἧκον ἐξ Εὐρυκώμιδος· καὶ νῦν Ἀφροδισίων ἐξ Αὐλικώμιδος· ἐκ δάφνης τότε, καὶ νῦν ἐκ ῥόδων

στε-



στεφανοῦμαι τὴν κεφαλήν· τίς ἂν οὕτω θρασὺς τὴν ψυχήν, στεῤῥὸς τὴν καρδίαν, καὶ τὸ στέρνον σιδήρεος, ὡς καὶ πρὸς μάχην ἀντέχειν Θεῶν, καὶ ὅλως φέρειν αὐτοὺς πολιορκοῦντας καὶ πλήσσοντας; οὐκ ἔχω σθένειν Κρατισθένης.

Ὁ δέ, πῶς οὕτω, φησίν, ἐξ ὅλου παρθένου καὶ Κήρυκος Διὸς καὶ ὅλου σώφρονος, ὅλον ἀναπνεῖς μοι τὸν Ἔρωτα, μύστης αὐτόματος γεγονώς, καὶ ὅλος διδάσκαλος; ἐγὼ δὲ πρὸς αὐτόν· Ἔρως αὐτός με μυσταγωγεῖ, Ἔρως αὐτὸς μεταπλάττει με, χεὶρ Ἔρωτος τὴν ἐμὴν ταύτην κεφαλὴν ἐστεφάνωσε, καὶ μετεστεφάνωσε· καὶ τὰ περὶ τὸν ὕπνον ἐξηγούμην αὐτῷ, τὴν προπομπὴν τοῦ Θεοῦ, τὸ ποικίλον τῆς προπομπῆς, τὰς ἐν χερσὶ λαμπάδας, τὸν ἐπὶ δίφρου Θεόν, τὸν ἐπ' ἐμὲ θυμόν, τὴν ὡς ἐξ οὐρανοῦ καταῤῥαγεῖσαν φωνήν, τὸν ἐμὸν ἑλκυσμόν, τὴν ἐμὴν πάθησιν, τὴν τῆς Ὑσμίνης φωνήν, τὴν ὑ-

 πὲρ

πὲρ ἐμοῦ πρεσβείαν, τὴν τοῦ Θεοῦ συγγνώμην, καὶ ἐπὶ πᾶσι τὸν στέφανον.

Ὁ δ', οὐδὲν καινὸν, φησὶ, πέπονθας· ἐρᾷς οὐ μόνος, ἀλλὰ σὺν πολλοῖς βροτῶν· καὶ τὰ πρὸς Ἔρωτας εὐτυχεῖς, ἐρωμένην ἔχων οὕτω καλὴν καὶ ὅλην ἐρῶσαν, καὶ ὑπηρέτην τὸν Ἔρωτα· καλὸν δέ σοι καὶ ὕπνου τυχεῖν· ὀφθαλμὸς γὰρ Ἔρωτος ἀγρυπνίας ἐλέγχει ψυχὴν ἐρῶσαν· καὶ ὥσπερ γλῶσσα φιλοκέρτομος οὐκ οἶδε κρύπτειν μυστήριον, οὕτως ὀφθαλμὸς ὕπνου στερηθεὶς, φαυλίζει τὸν Ἔρωτα.

Καὶ ὁ μὲν Κρατισθένης εὐθὺς ὑπνώττων ἀνέρεγχεν· ἐμοῦ δὲ τοὺς ὀφθαλμοὺς ὁ ὕπνος ἐξέφυγε· καὶ ἐδόκουν νὴ τοὺς Θεοὺς ὅλας ὀρύττεσθαι τὰς πλευράς· καὶ νὴ τὸν Ἔρωτα τὴν στρωμνὴν ἀκάνθινον εἶχον· καὶ ὡς ἐπὶ πυρᾶς ὀπτώμενος, πυκνὰ στρεφόμενος ἦν, ὥσπερ τι θῦμα καινὸν ἐξωπτημένος τῷ Ἔρωτι· τὴν ἡμέραν ἐπεθύμουν ἰδεῖν· ὠνειροπόλουν τὴν τράπεζαν καὶ τὴν Ὑ-

σμή-



σμήνην κιρνῶσαν, ἂν θλίψῃ λέγων, τὸν δάκτυλον, ἀντιθλιβήσεται γενναιότερον· ἀλλ' ἔθλιψε χθές· καὶ θλιβέτω καὶ πάλιν· ἂν θλίψῃ, ἀντιθλιβήσεται· εἰδ' οὐ θλίψει, θλιβήσεται· ἂν τὸν αὐτῆς πόδα ἐπιθήσει μου τῷ ποδὶ, τοῖν ποδοῖν ἐγὼ προσεπιθήσω τὸν ἕτερον· ἂν χαίροις εἴποι, ἑκατοντάχαιρε ἀκούσει· ἂν τὸ προσκύνημα κλέψῃ, προσκυνηθήσεται φανερῶς· ἂν προεκροφῇ μου τοῦ ποτηρίου, ὅλην ἐκροφήσω τὴν κόρην αὐτός· ἂν ἐπέχῃ τὴν κύλικα, καὶ τὴν χεῖρα τῆς κόρης τῷ ποτηρίῳ συνεφελκύσομαι· ἂν τοὺς πόδας συνέχῃ, καὶ συνέχουσα θλίβει, καὶ θλίβουσα φιλεῖ, καὶ φιλοῦσα κλέπτει τὸ φίλημα, συνέξω κἀγὼ, καὶ θλίψω, καὶ θλίβων φιλήσω, πλὴν οὐχ ὑποκλέψω τὸ φίλημα· ἂν γαργαλίσῃ μου τὸν πόδα, καταγαργαλίσω τὴν κόρην αὐτὸς, καὶ πείσω ταύτην ἐξ ἡδονῆς ἀνακαγχάσαι καὶ Ἔρωτος· ἂν μετὰ τὸ δεῖπνον ἀλγήσῃ τὸν πόδα, ἂν δευτέρα τοῦ πατρὸς



ἐξερ-

ἐξερχομένη μονωθῇ τῆς μητρὸς, ἐπιλήψομαι τȣ͂ πληγέντος ποδὸς, καταφιλήσω τὸ τραῦμα, τὴν πληγὴν πολυπραγμονήσω, ζητήσω τὰ πρόσφορα πάσματα, κατεπιθήσω ταῦτα, τὴν ἀλγὴν καταμαλάξω, πᾶσαν ἰατρικῶς ϗ ἐπιστημονικῶς ἀνερευνήσω, ϗ ὅλην ἰάσομαι.

Οὐκ ἔτι τὸν θυμὸν ὑφέξω τȣ͂ Ἔρωτος· ȣ̓κ ἔτι κατονειδισθήσομαι τὴν παρθένον· ȣ̓κ ἔτι τὸν σώφρονα κατειρωνευθήσομαι, ϗ τἄλλ' ὁπόσα νὴ τὸν Ἔρωτα πέπονθα· ἂν τὰ πρόσφορα τῇ νυκτὶ ζητήσῃ, συγκοιμηθήσομαι τῇ παρθένῳ, ϗ νήδυμον τὸν ὕπνον ἀνακηρύξω ποιητικῶς· ἤδη δέ μοι τοῖς ὀφθαλμοῖς σπένδεται, ϗ ἤδη κοιμῶμαι.

Ἅμα ȣ͂ν ἐγὼ περὶ τὸν ὕπνον, ϗ ἡ κόρη περὶ ἐμὲ ϗ προφθάνει τὴν ἡμέραν, ϗ τὸ δεῖπνον ἡ νὺξ, ϗ πάνθ' ὅσα ἐζήτȣν παθεῖν ϗ δρᾶσαι, ταῦθ' ὡς ἐν κατόπτροις τοῖς ὀνείροις ϗ εἶδον ϗ ἔπαθον· ȣ̓ γάρ με ϗ τὸ δρᾶσαι τὸ Δαιμόνιον ἐχαρίσατο· ὅλον δεῖ-



δεῖπνον ἀναπλάττει μοι τὸ ἐνύπνιον, ϗ συνήθως ἐδόκȣν ἀνακεκλίσθαι, ϗ τὴν κόρην κιρνῶσαν ὁρᾶν.

Εἰ μὲν ȣ͂ν Σωσθένης ϗ Πανθία συνήθως προέπιον, ἀκριβῶς ȣ̓κ οἶδα νὴ τὸν ἐν ὕπνοις Ἔρωτα· πρὸς ἐμὲ δ' ἧκεν ἡ κόρη κιρνῶσα, ϗ ὅλην αὐτὴν τοῖς ὀφθαλμοῖς μȣ κατέπινον, ὅλην ἐξερρόφȣν, ὅλην ἐπὶ τὴν ψυχὴν μετεβίβαζον· ἡ δέ μοι, λάβε, φησί, τὸ ποτήριον· ἐγὼ δὲ πάλιν ἀτενῶς ἑώρων αὐτήν· ἐκτείνω δὲ ὅμως τὴν χεῖρα λαβεῖν, ϗ τῆς παρθένȣ θλίβω τὸν δάκτυλον, ϗ τὸν πόδα τῷ ποδί μȣ προσεπιθλίβω, χαίροις, ὑποψιθυρίσας τῇ κόρῃ λεπτὸν, ϗ οἷον ἐκείνη προσεψιθύρισεν· ἡ δ', ȣ̓τ' ἀντεῖπεν, ȣ̓τ' αὖ ἀντέδρασεν, ἀλλ' ὡς ἐξ αἰδȣ͂ς ἠρυθραίνετο· τροφαὶ ποικίλαι συνήθεις περὶ τὴν τράπεζαν· ἐγὼ δ' ὡς ἀληθῶς ἐτίμων τὸν ὄνειρον ϗ ὅλος κατ' ὄνειρον ἐτρεφόμην, τροφὴ δέ μοι ϗ πότις ϗ ὀφθαλμȣ͂ ϗ ψυχῆς Ὑσμίνη παρ-

παρθένος, πρὸς ἣν ϗ μόνην ἀτενέστερον ἔβλεπον.

Ἧκε πάλιν ἡ κόρη προτεινομένη τὸ ἔκπωμα· πότε γὰρ ἐκάλει καιρός· ἐγὼ δὲ λαβὼν ϗ μικρὸν ἐκροφήσας, τὸ πᾶν ἀντιδέδωκα πρὸς τὴν παρθένον εἰπὼν, κοινοῦμαί σοι τὸ ποτήριον.

Τέλος εἶχε τὸ δεῖπνον, ὅμοι καθ' ὕπνους ὄνειρος ἐρωτικῶς ἡτοιμάσατο, ἢ μᾶλλον Ἔρως ἐν ὀνείροις ἐσκεύαζε· ϗ ἡμεῖς περὶ τὸ δωμάτιον, ϗ Σωσθένης ϗ Πανθία συνήθως ἡμῶν ἀπηλλάττοντο· ἐγὼ δὲ ϗ Κρατισθένης ἀνακεκλίμεθα· ϗ δὴ τὴν Ὑσμίνην περὶ τὴν κλίνην ὁρῶ τὴν ἐμὴν, ἣν μηδὲν αἰδεσθεὶς ὅλην ὅλαις ἐφέλκομαι ταῖς χερσὶ, ϗ τῇ κλίνῃ παρακαθίζω· Ἔρως γὰρ ἀναιδείας πατήρ· ἡ δὲ, αἰδεῖται μὲν ὡς παρθένος, ϗ τὴν μὴ πειθομένην τὰ πρῶτα καθυποκρίνεται, νικᾶται δ' ὅμως ὡς παρθένος ἀνδρὸς, ὅτι ϗ πρὸ τῆς ἐμῆς ταύτης χειρὸς ἐξ Ἔρωτος ἥττηται.

Καὶ



Καὶ ἡ μὲν, τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν γῆν
ἐπεττάλευσεν· ἐγὼ δὲ τοὺς ἐμοὺς ὅλους ἐπὶ
τὸ τῆς κόρης ἀνεσκολόπισα πρόσωπον· ἦν
γὰρ πλῆρες φωτὸς, πλῆρες χάριτος,
πλῆρες ἡδονῆς· ὀφρὺς μέλαινα, ἶρις τὸ
σχῆμα, ἢ κατὰ σελήνην μηνοειδής· ὄμμα
μέλαν, γοργὸν ϗ μάλα φαιδρόν· ὁ κύκλος
αὐτῷ κατὰ μέρος ὠξύνετο· ϗ ἦν τὸ σχῆ-
μα τοῖς ὀφθαλμοῖς κωνοειδὲς, ἢ μᾶλλον
κικλοειδές· ἡ περὶ τὴν ἐπιβλεφαρίδα
θρὶξ παντελῶς ἐμελαίνετο, ϗ ἦν ὁ τῆς
κόρης ὀφθαλμὸς, ὄντως Ἔρωτος κάτο-
πτρον· παρειὰ λευκή· τὸ λευκὸν ἄκρατον,
ἐς ὅσον οὐκ ἠρυθραίνετο· τὸ μέσον ἐρυ-
θρὸν, τὸ ἐρυθρὸν διεσπασμένον, ϗ οἷον
διεσπαρμένον· οὐχ οἷον πλάττει χείρ, ϗ
τέχνη βάπτει, ϗ νὺξ μαραίνει, ϗ ὕδωρ
ἐκπλύνει· τὸ στόμα συμμέτρως διέρρηκται·
τὸ πολὺ τῆς σαρκὸς τῶν χειλέων διέρ-
ριπται, ϗ ἄμφω τὰ χείλει φοινίσσεται·
εἴποις ἰδὼν ῥόδον ἐκθλῖψαι τὴν κόρην τοῖς

 Χει-

χείλεσι· χορὸς ὀδόντων λευκὸς, συμμετρίαν φέρων εὐάρμοστον, καὶ πρὸς τὸ χεῖλος ἀνάλογον, ὡς παρθένοι τοῖς χείλεσι οἰκουρούμενοι· ὅλον τὸ πρόσωπον κύκλος ἀνεπισφαλής· ἡ ῥὶν κέντρου λόγον ἐπέχει πρὸς ὅλον τὸ κύκλωμα· καὶ εἰμὴ φρίσσω τὸν Ἔρωτα, καὶ μᾶλλον ἐκ τῆς πείρας αὐτῆς εἴποι ἄν, ἀλλὰ σιγήσω τὸ ἐφεξῆς, ἵνα μὴ καὶ πάλιν καταζεοντήσῃ με τὸ μειράκιον.

Ἅπτομαι τῆς χειρός· ἡ δὲ, ἐπιχειρεῖ συνάγειν ταύτην, καὶ περικαλύπτειν εἰς τὸ χιτώνιον· ἀλλ' ὅμως κἀκ τούτων νικῶ· ἐφέλκομαι ταύτην περὶ τὸ χεῖλος· καταφιλῶ, καὶ καταδάκνω πυκνά· ἡ δ', ἀντεφέλκεται, καὶ ὅλη συστέλλεται· περιπτύσσομαι καὶ τὸν τράχηλον, καὶ τὰ χείλη τοῖς χείλεσιν ἐπιτίθημι, καὶ φιλημάτων πληρῶ, καὶ κατασπάζω τὸν Ἔρωτα· ἡ δ', ὑποπλαττομένη συνάγειν αὐτὰ, δάκνει με τὸ χεῖλος ἐρωτικῶς, καὶ ὑποκλέπτει τὸ φίλημα· τοὺς ὀφθαλμοὺς κατεφίλησα, καὶ ὅλον εἰς τὴν ψυχὴν ἀνεμασ-

σό-



σάμην τὸν ἔρωτα· ὀφθαλμὸς γὰρ Ἔρωτος πηγή.

Γίνομαι καὶ περὶ τὸ στέρνον τῆς κόρης· ἡ δ', ἀντέχεται μάλα γενναίως, καὶ ὅλη συστέλλεται· καὶ ὅλῳ σώματι περιτειχίζει τὸν μαζὸν ὡς πόλιν ἀκρόπολις· καὶ χερσί, καὶ τραχήλῳ, καὶ πώγωνι καὶ γαστρὶ τοὺς μαζοὺς καταφράττει καὶ περιφράττει· καὶ κάτωθεν μὲν ἀνέχει τὰ γόνατα· ὡς ἐξ ἀκροπόλεως δὲ τῆς κεφαλῆς ἀκροβολίζει τὸ δάκρυον· μονονοὺ λέγουσα φιλῶν μὲν, μαλάχθητί μοι τοῖς δάκρυσι· μὴ φιλῶν δὲ ὀκνήσεις τὸν πόλεμον.

Ἐγὼ δὲ μᾶλλον τὴν ἧτταν αἰδούμενος, καὶ ἀντέχομαι βιαιότερον, καὶ μόλις νικῶ, καὶ ὅλος ἀμβλύνομαι· νικῶν, ἡττῶμαι, καὶ ἡ γὰρ χεὶρ περὶ τὸν τῆς κόρης μαζὸν, ἐ- καὶ χαυνότης ὅλη περὶ τὴν ἐμὴν καρδίαν ἐπέρρευσεν· ἤλγουν, ἠθύμουν, καινόν τινα τρόμον ἔτρεμον, ἠμβλυνόμην τὴν ὄψιν, ἐμαλθακιζόμην τὴν ψυχήν, τὴν ἰσχὺν ἐχαυ-

νου

νόμην, ἐνωθρευόμην τὸ σῶμα, ἐπείχετό μοι τὸ ἄσθμα, πυκνὸν κατεπάλλετό μοι τὸ περικάρδιον, καί τις ὀδύνη γλυκάζουσα κατεπέδραμέ μου τὰ μέλη, ϗ οἷον ἐπεργαργάλισε, ϗ ὅλον με κατέσχεν ἄῤῥητος Ἔρως, ἀνεκλάλητος, ἄφραστος· καίτι πέπονθα, νὴ τὸν Ἔρωτα, οἷον οὐδέ ποτε πέπονθα.

Εὐθὺς οὖν ἐξέπτη μου τῶν χειρῶν ἡ κόρη, ἢ μᾶλλον εἰπεῖν οἰκειότερον, ἐκεῖναι νωθρῶς οὕτω ϗ μαλθακῶς τῆς κόρης ἐξέπεσον. ἐξέπτη δέ μου ϗ ὁ ὕπνος τῶν ὀφθαλμῶν, ϗ ἠνιώμην νὴ τὸν Ἔρωτα, οὕτω καλὸν ἀπολέσας ὄνειρον, ϗ τῆς ἐμῆς φίλης Ὑσμήνης ἀποσπασθείς· ϗ ἤθελον πάλιν ὑπνοῦν, καίτι πάσχειν ἐρωτικὸν, οἷον καθ' ὕπνους ἔπαθον· ἐπεὶ δὲ οὐ συνεχωρούμην τῷ Κρατισθένει ϗ τῷ καιρῷ, γίνομαι πάλιν περὶ τὸν κῆπον· πρὸ γὰρ τῆς θύρας ἦν τοῦ δωματίου· ϗ ἤμην ὅλος ἐωνημένος τῇ κόρῃ, ϗ ψυχὴν, ϗ σῶμα, ϗ ὀ-

φθαλ-



φθαλμοὺς, ϗ ὅλος βεβακχευμένος ἐξ Ἔρωτος.

Ἥκω τοίνυν περὶ τὸν ἐν κήπῳ Θεὸν, τὸν γεγραμμένον Ἔρωτα· ϗ πρῶτα μὲν προσκυνῶ, τοῦτο δὴ τὸ δουλοπρεπές· εἶτα ϗ λοιδορῶ τὸν ζωγράφον, ὅτι μὴ τὴν Ὑσμήνην τῷ χορῷ τῶν ἄλλων παρθένων ἐγράψατο, παρθένον οὕτω καλὴν, οὕτως ὡραίαν, οὕτω πνέουσαν Ἔρωτος, οὕτω φιλοῦσαν Ἔρωτα, ϗ φιλουμένην ἐξ Ἔρωτος· τοὺς ὀφθαλμοὺς ὅλους τείνω πρὸς τὴν γραφὴν, καί φημι πρὸς τὸν Ἔρωτα· τῆς ἐξουσίας σου βασιλεῦ! οὐκ ἔτι παλινοστήσω πρὸς Εὐρυκώμιδα· οὐκ ἔτι πολίταις Διὸς συνταχθήσομαι· ἔχει με πολίτην Αὐλικώμις ἐξ ἐρωτικῶν βαφῶν πολιτογραφούμενον.

Καὶ ὁ Κρατισθένης· εἶτ' οὐκ αἰδῇ τὸ Κηρύκειον; οὐκ αἰδῇ τὰ Διάσια, ὧν Κῆρυξ ἧκες ἐπ' Αὐλικώμιδα; οὐκ αἰδῇ τὸν Θεμιστέα πατέρα τὸν σὸν, ϗ τὴν τῶν πολλῶν ἐτῶν κληροῦχον Διάντειαν; μή μοι δύστερως

εἴης

εἴης· καλὴ μὲν Ὑσμήνη ϗ λίαν καλή,
„ ϗ νέμεσις οὐδεμία τοιῇ δ' ἀμφὶ Γυναι-
„ κὶ πολὺν χρόνον ἄλγεα πάσχειν· ἀλλ' ὁ
πατὴρ ἐπὶ σοὶ τὰς ἐλπίδας σαλεύει· σὲ
γήρως ἔχει βακτηρίαν, ϗ ψύχους θέρμην,
ϗ καύματος ζέφυρον· εἶτ' οὐκ ἐλεεῖς τὴν
μητέρα, ἥτις σε πνεῖ, ϗ λαλεῖ, καί σοι
γέγηθε, ϗ τῶν τοῦ γήρως κακῶν ἐπιλήθε-
ται; μὴ πρὸς Θεῶν Ὑσμηνία· μὴ πρὸς
Διὸς, οὐ Κῆρυξ ἥκες ἐξ Εὐρυκώμιδος· μὴ
πρὸς Ἔρωτος, οὐ δοῦλος ἐν Αὐλικώμιδι
γεγονας· φεῖσαι πατρὸς πολιᾶς· φεῖσαι
δακρύων μητρὸς· φεῖσαι Πατρίδος, ἡμῶν,
ἡλικιωτῶν, φίλων· φεῖσαι θιάσου λαμπροῦ·
φεῖσαι λαμπρᾶς ἀγορᾶς· φεῖσαι προπεμ-
πτηρίων ᾠδῶν, ἃς ὁ Πατήρ σοι ϗ Πατρὶς
συνεπλέξατο· ἀναλόγισαι τὸν Πατέρα
οἷον οἰμώξεται· ἀναλόγισαι τὴν μητέρα
οἷον κόψεται, οἷον θρηνήσει· ὄντως ἐλεει-
νὸν, ὄντως ἄγριον, ϗ οἷον Τρυγὼν ἐπὶ
νεοττοῖς ὀλλυμένοις· οὐ νέκταρ Ὑσμήνη σοι

κα-



κατεκέρασεν, οὐκ ἐξ Εὐρυκώμιδος οἶνον·
ἀλλ' οἷον Ἑλένης λαθικηδὲς φάρμακον· ἐπε-
λάθου πατρὸς, μητρὸς, πατρίδος, ἡλι-
κιωτῶν, ἑταίρων, οὔτω λαμπρᾶς ἀγορᾶς·
ϗ τὸ δὴ μεῖζον ἱεροῦ φιλίου Διός· ᾧ πάντα
κακαὶ γυναῖκες, ϗ κατὰ τὸν Σοφὸν, "
„ ἐσθλ' ἀμηχανώτατοι, κακῶν δὲ πάντων
„ τέκτονες σοφώτατοι. εἶτ' Ὀδυσσεὺς ἐκεῖ-
νος οὐ Κῆρυξ ἦν, ἀλλὰ δοῦλος, ἀλλὰ ξέ-
νος, ἀλλὰ πλανώμενος· ὁ δὲ, καπνὸν Πα-
τρίδος οὐ μόνον ἐλευθερίας, ἀλλὰ ϗ θεώ-
σεως αὐτῆς τιμιώτερον ἔκρινε· σὺ δ' ἔρω-
τος πυρὶ ϗ δοῦλος γένῃ, ϗ τὸ σὸν ἀπεμ-
πολεῖς μοι Κηρύκιον.

Κἀγὼ πρὸς τὸν Κρατισθένην, ἰδοὺ Σω-
σθένης, ϗ σίγα, μή με θριαμβεύσῃς τὸν
Ἔρωτα· ϗ ὁ Σωσθένης· τὰ μὲν δὴ πρὸς
τὴν ἑορτὴν εὖ διεθέμεθα· καιρὸς δὲ δεί-
πνου, ϗ περὶ τὸ δεῖπνον γενώμεθα.

Ἐπὶ τὸν συνήθη γοῦν ϗ πάλιν τόπον
ἀνακεκλίμεθα, ϗ πάλιν ἐπίομεν· ὀλίγος

γάρ

# ΒΙΒΛΙΌΝ, Δ΄.

Κιρνᾷ μὲν οὖν ἡ κόρη συνήθως· ἐγὼ δ' ἀσυνήθως πίνω· καὶ πίνων οὐ πίνω· καὶ μὴ πίνων, πίνω τὸν Ἔρωτα· πίνει μὲν οὖν Σωσθένης καὶ τρίτος ἐγὼ, ὅτι μου καὶ ἡ Πανθία προέπιε· καὶ πίνων, τὸν πόδα θλίβω τῆς κόρης πόδα κατεπιθεὶς τὸν ἐμόν· ἡ δὲ, σιγῶσα τῇ γλώττῃ, τῷ σχήματι λαλεῖ· καὶ λαλοῦσα, σιγᾷ· δάκνει τὸ χεῖλος, καὶ τὴν ἀλγοῦσαν καθυποκρίνεται· συνέχει τὴν ὀφρὺν, συγνάζει τὸ πρόσωπον, καὶ οἷον ὑποστενάζει λεπτόν. Ἐγὼ δ' ἀλγῶ τὴν ψυχὴν ἐκ μόνου τοῦ σχήματος· καὶ τὸν μὲν πόδα τοῦ ποδὸς ἀφαρπάζω τῆς κόρης· τῇ χειρὶ δ' ἀντιπαρέχω τὸ ἔκπωμα.

Περὶ μὲν οὖν τῶν ἐν τῇ τραπέζῃ τρυφῶν Κρατισθένης φιλοσοφείτω, καὶ εἴτις

περὶ



περὶ τὴν τράπεζαν ἕτερος· ἐμοὶ δὲ, καὶ τροφὴ, καὶ πόσις, καὶ τράπεζα, καὶ τἄλλα ὁπόσα περὶ τὴν τράπεζαν Ὑσμίνη παρθένος, ἧς καὶ πάλιν κιρνώσης θλίβω τὸν δάκτυλον· ἡ δ' ἀλγῶ καθυποψιθυρίζει λεπτόν· καὶ ἦν τὸ ψιθύρισμα μεστὸν ἡδονῆς, καὶ στάζον ἐξ Ἔρωτος· καὶ μετὰ τρίτην πόσιν καὶ τετάρτην καὶ πολυτελεῖς τὰς τρυφὰς, ἐλύετο τὸ συμπόσιον· καὶ ὁ Σωσθένης φησίν· Ὑσμινία Κῆρυξ, τρεῖς ταύτας ἡμέρας ἄγεις σήμερον εἰς τὴν ἡμετέραν ἐξ Εὐρυκώμιδος, ἃς ὁ παρ' ἡμῖν νόμος εἰς φιλοφροσύνην καὶ σέβας ἀφοσιοῦται Κήρυκος καὶ κηρύγματος· συνήθως οὖν καὶ πάλιν σὺν τῷ καλῷ τούτῳ παιδὶ, τὸν Κρατισθένη δεικνὺς, ἀνακλίθητι· τῇ δὲ ὑστεραίᾳ τὴν ἀπ' Εὐρυκώμιδα βαδιοῦμεν θύσοντες τῷ πατρὶ Διΐ· ταῦτα εἶπε, καὶ ἡμῶν ἀπαλλάγη τὸ σύνηθες χαίροις εἰπών.

Ἐγὼ δ' ἐδόκουν νὴ τοὺς Θεοὺς, εἰς Ἅδου μετακεκλῆσθαι, καὶ ἤδη κρυεροῦ, κατὰ τὴν

ποι-

ποίησιν, ἐγευόμην Αἴδιο, καὶ πρὸς τὸν Κρατισθένην εἶπον· τί μοί φησι Σωσθένης; Ὑσμίνη περὶ ταυτηνὶ τὴν Αὐλίκωμιν, ἐγὼ δ' εἰς Εὐρύκωμιν; οὐ μὰ τὸν ἐν τῷ κήπῳ Θεόν· σὺν Ὑσμίνῃ θανοῦμαι, σὺν Ὑσμίνῃ καὶ ζήσομαι· καὶ τὴν Ὑσμίνην περὶ τὸν κῆπον εἶδον ὅλην σεσοφισμένην ἐξ Ἔρωτος.

Εὐθὺς οὖν ὅλον τὸν κῆπον τοῖς ὀφθαλμοῖς μου συναγαγὼν, ἢ μᾶλλον ὅλους περὶ τὸν κῆπον κατασκορπίσας αὐτοὺς, καὶ μόνην τὴν Ὑσμίνην ἰδὼν, ἐγγύς που ταύτης γενόμενος, καὶ χαίροις εἰπὼν, ἐφελκυσάμην τοῦ χιτωνίου· ἡ δ', ἐσίγα τὰ πρῶτα, καὶ μόνον ἀντέτεινεν· ὡς δὲ καὶ χειρὸς ἡπτόμην, αἰδέσθητι, φησὶ, τὸ Κηρύκειον· ὡς δὲ καὶ φιλεῖν ἤθελον, εἶτ' οὐκ αἰδῇ τὸν ἐκ δάφνης στέφανον εἶπε, καὶ τὸ ἱερὸν πέδιλον; ὡς δὲ οὐ κατεδυσωπούμην, ἀλλ' ὅλος ἤμην περὶ τὸ φίλημα, τί δέ σοι κέρδος, εἶπεν, ἐκ τοῦ φιλήματος; ἐγὼ δὲ πρὸς τὴν κόρην μεθ' ἡ-

δο-



δονῆς· „ἔστι κᾀν κενεοῖσι φιλάμασιν ἁδεῖα „τέρψις.“ ἡ δ', ὑποσεσηρεῖα μικρὸν, χθές φησι τὸν παρθένον ἔπλαττου, ὑποκρίνου τὸν σώφρονα, καὶ νῦν καταῤῥητορεύεις τὸν Ἔρωτα; ἐγὼ δ' οὐδὲν εἰπὼν τὴν χεῖρα φιλῶ, καὶ φιλῶν στένω, καὶ στένων ἐδάκρυσα· ἡ δέ μοί φησιν, ὅ, τι τυγχάνεις θρηνῶν; ἐγὼ δ', ὅτι γλώσσῃ μόνῃ τοῦ μέλιτος γεύομαι· σὸς γάρ με Σωσθένης πατὴρ εἰς Εὐρυκώμιδα συνεφέλκεται· ἡ δ', ἀλλὰ κἀμέ φησι· καὶ τὴν χεῖρα ἀφαρπάσασα μακρὰν ἀπεπήδησεν· ἐγὼ δ' ὡς ἐν ὕπνοις πτέρῳ ποδὶ περὶ τὴν κλίνην γενόμενος, ὑπεκκλινόμην ὕπνου· ψόφος γὰρ ὡς ἐκ ποδὸς ἡμᾶς συνετάραξεν.

Ἧκεν οὖν ὁ Κρατισθένης τῆς συνηρεφοῦς ἀναστὰς μυῤῥίνης εἰς ἣν ὑπεκάθητο, καὶ τὸν πόδα μου θλίβων φησίν· ἕως πότε τὸν βαθὺν τοῦτον ὕπνον ὑπνοῖς; Ὑσμίνη περὶ τὸν κῆπον, σὺ δ' οὕτως ἀνακεκλιμένος ὑπνοῖς; καὶ λέγων ἐγέλασεν· ἐγὼ δὲ, τί

γε-

γελᾷς; εἶπον· ὁ δ', ὅτι σε ψόφος θεραπαινίδος ποδὸς, χειρὸς ἐρωμένης δεσποίνης ἐξέρησε, καὶ θήρας οὕτω καλῆς ἀνεμώλιον φόβητρον· ἐγὼ δὲ κατεφίλησα τὸν Κρατισθένην εἰπών· σύγχαιρέ μοι Κρατίσθενες· σὺν ἡμῖν ἡ παρθένος εἰς Εὐρυκώμιδα· καὶ δὴ περὶ τὸν κῆπον γενόμενος, τὴν Ὑσμίνην ἐζήτουν καὶ πάλιν ἰδεῖν· ὡς δ' οὐκ εἶχον ὁρᾶν (ᾤχετο γὰρ) ἐνεκαρτέρουν τῷ κήπῳ, τὴν παρθένον ἐνοπτριζόμενος.

Ὁ δέ γε Κρατισθένης μετάγει μου τοὺς ὀφθαλμοὺς ἐπὶ τὰς ἐν τῷ κήπῳ γραφάς· καὶ μετὰ τὸν ἐμὸν Ἔρωτα τὸν ἐφ' ὑψηλοῦ τοῦ δίφρου καθήμενον, ἄνδρας ὁρῶμεν ἀλλοφύλους, ἀλλογλώσσους ἀλλήλοις, ἀλλογενεῖς, ὅλους ἄλλους ἐξ ἄλλων καὶ τὸ σχῆμα καὶ τὸ πολίτευμα· ὁ μὲν, στρατιώτης ἦν, στρατιώτης τὸ σχῆμα, στρατιώτης τὸ βλέμμα, στρατιώτης τὸ μέγεθος· ὅλος στρατιωτικῶς κατεπέφρακτο, τὴν κεφαλὴν, τὼ χεῖρε, καὶ τὸ μετάφρενον· τὸ μέτωπον,





τὸ στέρνον, τὴν ὀσφὺν, καὶ μέχρι ποδῶν· οὕτως ὁ τεχνίτης τὸν σίδηρον εἰς πέπλον ἐξύφανεν, ἢ μᾶλλον ταῖς βαφαῖς τὸν σίδηρον ἐμιμήσατο· οὕτω καὶ μέχρις ὀνύχων αὐτῶν τὸν στρατιώτην κατέφραξε· φαρέτρα περὶ τὴν ὀσφὺν, καὶ σπάθη ἀμφίκοπος· δολιχὸν ἔγχος περὶ τὴν δεξιὰν, ἀσπὶς ἐξήρτητο τῆς λαιᾶς· τοῖν γε ποδοῖν οὕτως εὐφυῶς εἶχε καὶ τεχνικῶς, ὡς εἴποις ἰδὼν, κινεῖσθαι τὸν ἄνθρωπον.

Ὁ μετ' αὐτὸν, ὅλος ἦν ἀγροικικῶς ἐσταλμένος, καὶ ὅλος ποιμήν· ἀπερικάλυπτον εἶχε τὴν κεφαλὴν, ἀκόσμητον τὴν τρίχα τῆς κεφαλῆς, καὶ τοῦ πώγωνος· τὼ χεῖρε μέχρις ἐπ' ἀγκῶνα γυμνώ· μέχρι γονάτων ὁ ζωγράφος τὸν χιτῶνα κατέχυσε, τὰ δ' ἐφεξῆς ἀφῆκεν ἀπερικάλυπτα· Λάσιον τὸ στέρνον τῷ ἀνδρὶ, καὶ ὅσα τῶν μελῶν οὐκ ἐπεκαλύφθησαν ὡς ἐν χιτῶνι τοῖς χρώμασι· τὸ σκέλος παχὺ, καὶ ὄντως κατ' ἄνδρας ἁδρόν· διδυμοτόκος αἲξ

πρὸ τῶν ποδῶν τοῦ ποιμένος ὠδίνουσα γέγραπται· ὁ δὲ γίγας οὗτος ποιμὴν μαιεύει τὴν αἶγα· καὶ τὸ μὲν πρωτότοκον ἔχει, τὸ δ', ὑποδέχεται· καὶ τὴν σύριγγα ποιμενικῶς ἁρμοσάμενος ἐπιτόκιον οἷον ᾄδει, καὶ οἷον καταδυσωπεῖ τὸν Πᾶνα τὰς αἶγας πυκνῶς εὐτοκεῖν.

Εἶτα λειμὼν κατάκομος ἄνθεσι, καί τις ἀνὴρ κατὰ μέλιτταν ἐπὶ τοῖς ἄνθεσιν ἐμετάλλευεν· οὐ κατὰ φυτοκόμον ἐγέγραπτο, κατ' ἄνδρα δὲ μᾶλλον πολυτελῆ καὶ πολύολβον, καὶ ὅλον βλάκα, καὶ ὅλον χαρίεντα· ἡ γάρ τοι περὶ τὸ πρόσωπον χάρις αὐτοῦ πρὸς τὸ τοῦ χειμῶνος κάλλος ἀντήριζεν· ἡ θρὶξ περὶ τοὺς ὤμους ἐξήπλωτο, φιλοτίμως καταβοστρυχουμένη, καὶ λίαν ἐπιμελῶς· ἄνθεσι τὴν κεφαλὴν ἐστεφάνωτο, καὶ ῥόδα κατεπεχεῖτο τῷ βοστρυχώματι· ποδήρης ὁ χιτὼν τουτωΐ, καὶ οἷον κατάχρυσος, καὶ ὡς ἐξ ἀνθέων κατάστικτος, καὶ ὅλος ἠνέμωτο· πλήρεις εἶχε τὰς χεῖρας καὶ ῥόδων, καὶ τῶν

ἄλ-



ἄλλων φυτῶν, ὅσα καθηδύνει τὴν ὄσφρησιν· ἐσανδάλουτο τοὺς πόδας· οὐδὲ γὰρ οὐδὲ τοῦτο τὸ μέρος εἶχεν ἀπερικόσμητον· καὶ ἦν ὁ λειμὼν τοῖς ἐν ποσὶ σανδάλοις ὡς ἐν κατόπτροις παραδεικνύμενος· οὕτως ὁ ζωγράφος καὶ μέχρι ποδῶν καὶ πεδίλου τὸν ἄνδρα κατεχαρίτωσε.

Πεδίον χλοηφόρον μετὰ τὸν κῆπον ὁ τεχνίτης ἐξήπλωσεν· ἄνδρα δ' ἐν μέσῳ κατεζωγράφησε, τὰ πάντα κατ' ἀγρότην ἐσκευασμένον, ἐστεφανωμένον τὴν κεφαλὴν οὐκ ἐκ ῥόδων, οὐκ ἐξ ἀνθέων, ἀλλ' ἐκ λίνου λεπτοῦ, ὃν χεὶρ ὑφαίνει, καὶ τέχνη πλέκει· καὶ τόξον ἀγρότης ἔχει· τὸν βόστρυχον οὐδὲ μέχρις ὤμων ὁ τεχνίτης ἐφήπλωσεν, οὐδ' αὐτὸν ὅλον περικαλύπτειν ἀφῆκε τὸν τράχηλον· τὸ χιτώνιον ἁπλῶς κατ' ἀγρότην ἐσκεύασε, καὶ ὅλον ἀγροικικόν· τὼ πόδε ἄμφω μέχρις γονάτων ἐγύμνωσε· καὶ ἄμφω τὼ χεῖρε πρὸς ἓν ἀφώρισε δρέπανον· χόρτον τίλλειν ὁ γεγραμμένος ἀγρότης

ἔρ-

ἔργον εἶχεν ἐπιμελέστατον· τοὺς ὀφθαλμοὺς ἐπεπήγει τῷ χόρτῳ, καὶ ὅλος ἦν πρὸς τῷ λειτουργήματι.

Γηπόνος ὁ μετ' αὐτὸν, περὶ μέσους κεκυφὼς τοὺς ἀστάχυας· δρέπανον ἔχει τῇ δεξιᾷ, τῇ δέ γε λαιᾷ συλλέγει τὰ δράγματα· ἀπέχει τὸν καρπὸν τῶν πόνων, θερίζει τὰς ἀμοιβὰς τῶν καμάτων, καὶ τῶν σπερμάτων τρυγᾷ τὰ γεώργια· ἐπικάλυμμα φέρει τῇ κεφαλῇ πῖλον ἄσκητον καθ' Ἡσίοδον· οὐ γὰρ γυμνῇ ταύτῃ δοκεῖ τὴν θέρμην ἀνέχεσθαι· τὸν πάντα χιτῶνα περὶ τὴν ὀσφὺν διεζώσατο, καὶ τὸ πᾶν τοῦ σώματος, πλὴν τῆς αἰδοῦς ἐξεγύμνωσεν.

Ὁ μετ' αὐτὸν, ἤδη λελουμένος ἐγέγραπτο· πρὸ τῶν πυλῶν εἰσήκει τοῦ βαλανείου, ὀθόνει τὴν αἰδῶ περιστέλλων, τὰ δ' ἄλλα φέρων ἀπερικάλυπτα, πάνθ' ὡς ἐξ ἱδρῶτος κατερρεῖτο καὶ κατεβρέχετο· εἴποις ἰδὼν ἀσθμαίνειν τὸν ἄνθρωπον, καὶ οἷον ἐκλελύσθαι τῷ καύματι· οὕτως ὁ τεχνίτης καὶ τὰς φύ-

σεις



σεις αὐτὰς ἀπεμιμεῖτο τοῖς χρώμασι· τῇ δεξιᾷ τῶν χειρῶν ἔκπωμά τι κατεῖχε κωνοειδὲς, ὃ τῷ στόματι φέρων τῆς ὀπῆς ἀνερρόφει τοῦ πόματος· τῇ δ' αὖ γε λαιᾷ τὴν ὀθόνην ἀνεῖχε περὶ τὸν ὀμφαλὸν, μή πως ἐκρυεῖσα τὸ πᾶν ἐκκαλύψῃ τοῦ σώματος.

Μετὰ δὲ τοῦτον τὸν ἐκ βαλανείου, τὸν λελουμένον, τὸν καυματούμενον, ἀνήρ τις ἐγέγραπτο, ὅλον ἀνεζωσμένος περὶ τὴν ὀσφὺν τὸ χιτώνιον, ὅλω τὼ πόδε γυμνὸς, καὶ ὅλην οἴνου πηγὴν ἀναξομῶν πρὸ ποδῶν· Τὴν τρίχα πᾶσαν εὐφυῶς συνῆκται πρὸς τὸ μετάφρενον· ἄμπελον ἡ λαιὰ τῶν χειρῶν ἐμιμεῖτο, καὶ βότρυν εἶχε τοῖς δακτύλοις ὡς κλάδοις ἀπαιωρούμενον· ἡ δεξιὰ τὸν βότρυν ἐτρύγα, καὶ τῷ στόματι κατὰ ληνὸν παρετίθετο, καὶ τοῖς ὀδοῦσιν, ὡς ποσὶν, ἐναπέθλιβε· καὶ ἦν ὁ γεγραμμένος ἀνὴρ, ἄμπελος καὶ τρυγητὴς, καὶ ληνὸς καὶ οἴνου πηγή.

Ὁ μετ' αὐτὸν νεανίσκος νῦν πρώτως ἄνθει τὸν ἴουλον, τὴν κεφαλὴν μὴ περιφε-

ρων

ρων ἀπεϱικάλυπτον, ἀλλ' ἔκτινος ἀραχνώδους λίνου περικαλύπτων ϗ τὴν κεφαλὴν ϗ τὸν βόστρυχον· λευκὸν αὐτῷ τὸ χιτώνιον, ὃ τὰς χεῖρας συνέχει, ϗ ταύταις κεκάλυπται· ϗ μέχρι δακτύλων ἐγκεχυμένον αὐτῶν, ζώννυται μὲν περὶ τὴν ὀσφὺν, τὸ δ' ἐφεξῆς τῷ νεανίσκῳ κατεπεδίλωσεν· ὁ δ' οἰκίσκους φέρει στρουθῶν· πλάττει φυτὸν, δόλον πλέκει κατὰ πτηνῶν, ϗ περιεργάζεται τὸ πτερόν· ὅλον λειμῶνα φυτεύει· στρουθοὺς τῷ λειμῶνι παραπετάννυσι, λεπτῇ μηρίνθῳ τούτους ἀντικαθέλκων πυκνά· τὸν δόλον οὐ συνορᾷ τὸ πτηνὸν, τὴν μηχανὴν οὐκ οἶδε· βλέπει τὸν χειμῶνα τερπνὸν, τοὺς ἐν μηρίνθῳ παραπεταμένους στρουθοὺς, τοὺς ἐν οἰκίσκοις ἡδὺ μελιζομένους ϗ χαρίεν· γίνεται πρὸς τῷ χειμῶνι, πρὸς τοῖς στρουθοῖς, ϗ τῷ δόλῳ συνέχεται· ὁ δὲ τὸν δόλον συσκευασάμενο, ἰξευτὴς συνέχει ϗ σφάττει, ϗ τῆς εὐηθείας καταγελᾷ.

Μετὰ δὴ ταῦτα ζεῦγος βοῶν ἄροτρον φέ-



ρον ἐγέγραπτο, καί τις ἀνὴρ ἀροτρεὺς, ὃ φαῦλα μὲν ὁ τεχνίτης ὑπέρραψε πέδιλα, φαῦλα δὲ ϗ τἄλλα τὰ περὶ τὸ σῶμα κατεζωγράφησε· φαῦλον χιτῶνα, ϗ ὅλον διερρωγότα· ϗ τοῦτο γὰρ ἐτεχνουργήθη τοῖς χρώμασι· φαῦλον τὸ τῆς κεφαλῆς περικάλυμμα, ἐξ ἐρίου τάχα συμπιληθέν· μέλαν οὐ κατ' Αἰθίοπα κατεχρώσθη τὸ πρόσωπον, ἀλλ' οἷον ἥλιος μεταχρώννυσι· θρὶξ ὀλίγη πρὸς τὸ μετάφρενον· τὴν γὰρ πᾶσαν τὸ τῆς κεφαλῆς ἐπεκάλυπτε κάλυμμα· πώγωνι καθειμένος ϗ ὅλος βαθύς· ἡ δεξιὰ τῶν χειρῶν ὅλη κατέχει, ϗ πρὸς γῆν ἐμβάλει τὸ ἄροτρον· ἡ δέ γε λαιὰ βουπλῆγα φέρει, γηπόνων ἀνδρῶν γραφεῖον· ὃ βάπτεται μὲν βοῶν αἵματι, καλλιγραφεῖ δὲ τῇ γῇ.

Ὁ μετ' αὐτὸν, κατ' αὐτὸν, τὸ σχῆμα, τὸν χιτῶνα, τὸ πέδιλον, ϗ τὸ τῆς κεφαλῆς περικάλυμμα, ϗ ὅσα περὶ τὸ σῶμα· τὸ γάρ τοι σῶμα διήλλακται· τὸ

C

γεω-

χρῶμα τοῦ προσώπου μέλαν μὲν, ἀλλ᾽ οὐχὶ
κατ᾽ ἐκεῖνον, ὥσπερ οὐδὲ κατὰ τὸν ἐν τῷ
κήπῳ γεγραμμένον λευκὸν, ἀλλ᾽ ὅσον ἐ-
κείνου μελάντερον, τοσοῦτον τούτου λευκότε-
ρον· ἡ θρὶξ ἀτάκτως, πλὴν μέχρις ὤμων
ἐξήπλωτο· ὁ πώγων μὴ κατ᾽ ἐκεῖνον ἐκ-
κεχυμένος, ἀλλὰ συνῆκται ϗ οἷον συνέσαλ-
ται· τῆς μὲν τῶν χειρῶν τῆς λαιᾶς ἐξῆ-
πται Κανοῦν· ἡ δ᾽ αὖ ἑτέρα τὸν ἐν τούτῳ
σῖτον ἐξῆγε, ϗ περὶ τὴν γῆν κατεσκόρ-
πιζεν. Οἱ δὲ κεκρυμμένοι πένητες τοῖς πε-
ρὶ τὴν γῆν ἐκάθηντο χάσμασι, ϗ εἰ τού-
τοις ἐσκόρπιζεν, ὁ τεχνίτης οὐκ ἀφῆκεν ὁρᾷν.

Μετὰ δὴ τούτους νεανίσκος ἐγέγραπτο
σφριγῶν τὸ σῶμα, ϗ τὸ βλέμμα θρα-
σύς· ὅλος περὶ θήρας ἐπτοημένος ϗ κυ-
νηγέσια· ᾑμαγμένος τὰς χεῖρας, ϗ
οἷον θωΰσσων κυσί· χεὶρ γὰρ ζωγράφου ϗ
τέχνη, τἄλλα σοφὴ, φωνῆς ἡττᾶται, ϗ
ταύτην οὐκ οἶδε μιμεῖσθαι τοῖς χρώμασι.
τὸν πάντα βόστρυχον πρὸς ἓν συνεῖχε ϗ
τη-



συνεδέδετο· ὅλον τὸ χιτώνιον εὐφυῶς συγ-
κεκόλληται τῇ σαρκὶ, ϗ οἷον ταύτῃ συνέρ-
ραπται· ὃ μέχρι γονάτων ὁ τεχνίτης
ἐξέχυσε· τὸ δ᾽ ἐφεξῆς μέχρι δακτύλων
αὐτῶν διερρωγώς τις πέπλος συνέσφιγγε,
ϗ μήρινθος κατὰ κιττὸν συνεπλέκετο. Λα-
γωὸς τῆς λαιᾶς ἐπῃώρητο τῶν χειρῶν· τῇ
γάρ τοι δεξιᾷ τὰς κύνας ὑπέσαινεν· οἱ δ᾽ ὅ-
λοι πρὸ ποδῶν ἐκυλινδοῦντο τοῦ νεανίσκου,
ϗ οἷον συνέπαιζον.

Τέλος Κρατῆρες πυρὸς ἐγγεγράφατο, ϗ
φλὸξ ὡς ἀπὸ πηγῆς μέχρις ἐς αὐτὸν οὐ-
ρανὸν, ὡς μηδ᾽ ἔχειν μαθεῖν, εἴτ᾽ ἐξ αἰθέ-
ρος εἰς γῆν ἐκχεῖται τὸ πῦρ, εἴτ᾽ ἀπὸ γῆς
ἐξῆπται πρὸς οὐρανόν· καί τις ἀνὴρ ἐκα-
τοντάπελος παρακάθηται τῇ φλογί, ὅλος
ῥυτὶς, ὅλος πολιὰ ϗ τὴν κεφαλὴν ϗ τὸν πώ-
γωνα· διφθέραν ἐνδεδυμένος ἐκ κεφαλῆς ἐς
ὀσφύν· τὰ δ᾽ ἄλλα γυμνὸς, τὼ χεῖρε, τὼ
πόδε, ϗ τὸ πολὺ τῆς γαστρός· ἐκτεταμέ-
νας εἶχε τὰς χεῖρας, ϗ οἷον μεθεῖλκε τὴν


φλό-

φλόγα καὶ μετεῤῥίπιζε, καὶ ὅλην μετῆγε πρὸς ἑαυτόν.

Ταῦθ' ἑωρῶμεν, καὶ τοῖς παραδόξοις ἐπληττόμεθα· καὶ τί βούλεται τὰ γεγραμμένα καὶ σφόδρα μαθεῖν ἐβουλόμεθα· καὶ μᾶλλον ὁ Κρατισθένης· ἐμὲ γὰρ ὁ τῆς Ὑσμήνης ἔρως ὅλον μεθεῖλκε πρὸς ἑαυτόν· τὰ δ' ἄλλα πάντα καὶ τὰ περὶ τὸν κῆπον τερπνά, τερπνά μοι πρὶν Ὑσμήνην ἰδεῖν, ἢ μᾶλλον πρὶν Ὑσμήνης ἐκκεκαῦσθαι τῷ Ἔρωτι.

Τοίνυν ἐγὼ μὲν τοὺς ὀφθαλμοὺς μετάγω πρὸς τὸν κῆπον, τὴν Ὑσμήνην ἐνοπτριζόμενος· ὁ δέ γε Κρατισθένης ὑπὲρ τὰς κεφαλὰς τῶν γεγραμμένων ἀνδρῶν ἰάμβειον ἓν γεγραμμένον ὁρᾷ· τόδ' εἶχεν οὕτως.

„Τοὺς ἄνδρας ἀθρῶν, τὸν χρόνον βλέπεις ὅλον.

ἐντεῦθεν κατεφιλοσοφοῦμεν τὰ σχήματα τῶν καταγεγραμμένων ἀνδρῶν.

Στρατιώτης ὁ πρῶτος τὸν καιρὸν τοῦ χρόνου παραδεικνύς, ὅτι πᾶς ἐκστρατεύει στρατιώτης ἀνὴρ ὅπλοις ὅλοις καταφραξάμενος. Ὁ

μετ'



μετ' αὐτὸν Αἰτόλος, αἲξ ἡ περὶ τοῖς ποσὶ τίκτουσα, καὶ σύριγξ οἷον αὐλοῦσα, τὸν καιρὸν ἐμφαίνει, καθ' ὃν ποιμὴν ἐκ χειμῶνος ἐξάγει τὸ ποίμνιον, καὶ καθ' ὃν τίκτουσιν αἶγες, καὶ σύριγξ ἁρμόζεται. Ὁ γεγραμμένος λειμών, ὁ ῥόδοις κομῶν καὶ θάλλων τοῖς ἄνθεσι, ὁ μέσον καθήμενος ἀνὴρ τὸν καιρὸν εἰκονίζει τοῦ Ἔαρος. Τὸ χλοηφόρον γεγραμμένον πεδίον, ὁ τὸν χόρτον τίλλων ἀγρότης, τὸν καιρὸν παρίστησιν ἐμφανῶς, καθ' ὃν ὁ χόρτος πεπαίνεται, καὶ τὴν ἐκτομὴν ἀπαιτεῖ. Ὁ μέσον ἀσταχύων ἀνήρ, ὁ τὸ δρέπανον ἔχων καὶ θερίζων τὸν ἄσταχυν, τὸν καιρὸν τοῦ θέρους σοι καταζωγραφεῖ. Ὁ λελουμένος ἀνήρ, ὁ γυμνός, ὁ πίνων, ὁ καυματούμενος, τὴν θέρμην ἐμφαίνει σοι τοῦ καιροῦ, τὴν ἐπιτολὴν τοῦ Κυνός, ὅταν τὸ σῶμα καταξηραίνεται. Ὁ τὸν βότρυν ἐκθλίβων, ὁ τὸν βότρυν τρυγῶν, τὸν καιρὸν τῆς τρύγης σοι παρίστᾳ, καὶ τὸ πεπαίνεσθαι τοὺς βότρυας. Ὁ μετ' αὐτὸν ἰξευτὴς ὑπαινίττεταί σοι τὸν

 χρό-

χρόνον, καθ' ὃν τὰ πτηνὰ τὸν χειμῶνα φείσσει, ἢ μεταίρει πρὸς τὸ θερμότερον. Ὁρᾶς τὸν γηπόνον ἐπ' ἄροτρον; ὗτός ἐςιν ὁ καιρὸς, ὃν καί τις σοφὸς ἐκ τῶν πληϊάδων εἰς ἄροτρον ἠκριβώσατο. Ὁ μετ' αὐτὸν σκορπίζων τὸν σῖτον, σπορεύς ἐςι ἢ τὸν τῦ σπόρυ καιρὸν καθυπεμφαίνει τῷ ζωγραφήματι. Ὁρᾶς τὸν ἐν μέσῳ κυνῶν νεανίσκον; τὸν τὸν λαγωὸν φέροντα, τὸν τὰς κύνας καθυποσαίνοντα; τὸν τῆς θήρας καιρόν σοι παρίςησιν· ἐπεὶ γὰρ συνῆκται ταῖς ἀποθήκαις ἢ σῖτος, ἢ οἶνος, ἢ τἄλλ' ὁπόσα συναγαγεῖν ἀγαθὸν, ἀλλὰ δὴ ἢ τὰ περὶ τὸ μέλλον εὖ διετέθη, ἢ γεωργικῶς ἢ γηπονικῶς, ἀνέσει ἢ θήραις ἢ κυνηγεσίοις καιρὸς ἀφωσίωται. Ὁ πολιὸς ὗτος ἀνὴρ, ἡ ῥυτὶς, ὁ τῇ ἑςίᾳ ἐμπελαδὸν παρακαθήμενος, τὸ δριμὺ τῦ χειμῶνος καθυπεμφαίνεισοι· ὐχ ἧττον δὲ ἢ το τῦ γήρως ψυχρόν· „ ὁ γάρ τοι χειμὼν διὰ κόρης ἁπαλόχροος ὐ διάησι, τροχαλὸν δὲ γέροντα τίθησιν."

Οὕτω



Οὕτω τοίνυν καταφιλοσοφήσαντες τὴν γραφὴν, ἐπὶ τὸ δωμάτιον ἐχωρῦμεν· ὕπνυ γὰρ ἐκάλει καιρός. ἢ ὁ μὲν Κρατιθένης περὶ τὴν κλίνην ἐγένετο· ἐγὼ δ' ἐνεκαρτέρυν τῷ κήπῳ τὴν Ὑσμίνην ἐθέλων ἰδεῖν, ἢ ὅλυς πρὸς τὴν πύλην εἶχον τὰς ὀφθαλμὰς· νῦς γὰρ Ἔρωτι τραφεὶς, ὅλον καθ' αὑτὸν ἀναπλάττει τὸν Ἔρωτα, ἢ τὰς ὀφθαλμὰς μετάγει πρὸς τὸ πλάσμα, κἂν ὅλον ὁρᾷν δοκῇ τὸ πλαττόμενον. ὗτω πῦρ Ἔρωτος πεσὸν εἰς ψυχὴν, ἢ τὰς φύσεις αὐτὰς μεταπλάττει ἢ μεθαρμόζεται.

Καὶ ὁ Κρατιθένης τῆς κλίνης ἀναςὰς, μεθέλκει με περὶ τὸ δωμάτιον, νὺξ δὲ ἤδη τελέθει, λέγων· ἀγαθὸν ἢ νυκτὶ πειθέσθαι. Ἐγὼ δὲ πρὸς αὐτὸν, νῦν τὰς γραφὰς ὅλας ἀναζητῶμεν· τὰς ἐπιγραφὰς ὁρῶμεν, ἢ ταύτας ταῖς γραφαῖς προσαρμόττωμεν· ἢ θέρει μὲν, ἢ ψύχει, ἢ ἔαρι, ἢ τοῖς πᾶσιν ἁπλῶς καιρὸς ἀφωσίωται· Ἔρως δὲ ὐ περιγέγραπται τῇ γραφῇ· ὐ πρὸς καιρὸν



τῦ

τῇ τέχνῃ μετεχρωμάτισαι, πάντως ὅτι παντὶ καιρῷ μεθαρμόζεται.

Ὁ δὲ Κρατισθένης, ἰσχυρῶς σε παιδεύω τοῖς χείλεσι, καὶ τοῖς σοῖς τὴν νικῶσαν ἔχω προβλήμασιν· ἐγγὺς γὰρ ἡ γραφὴ, καὶ ἀπαράγραπτος ὁ γραφεύς· θέρει γὰρ, καὶ ψύχει, καὶ ἔαρι καιρὸς ἀφοσίωται, κατάγε τὴν γραφὴν καὶ τὸν λόγον τὸν σὸν, Ἔρωτι δ' οὐδαμῶς· ἂν δὲ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷ, τυραννὶς τὸ πρᾶγμα· ὃν καταδυναστεύσας πολλάκις ἐκράτησε παρ' ἡμῖν, οὐ νόμος τὸ σπάνιον· ἡ γάρ τοι τοῦ ζωγράφου γραφὶς, Ἑρμοῦ μοι ἀκόντιον, βολὴ κατεσομωμένη τοῖς ἐκ τῶν γεγραμμένων προβλήμασιν.

Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην, ἀλλ' αὐταῖς σοι ταῖς τῶν χρωμάτων βαφαῖς ἐκθηλυνθήσεται τὸ ἀκόντιον. Ἔρως γὰρ προγέγραπται βασιλεύς· καὶ πᾶσα φύσις ἀνδρῶν, ὡς δούλη παρίσταται· ἄνδρες δὲ πάντως, καὶ οἷς ὁ γραφεὺς τοὺς καιροὺς μεθηρμόσατο·





εἰ γὰρ τὸ πᾶν καὶ καθόλου δουλοῦται τῷ Ἔρωτι, πῶς τὸ μερικὸν ἐκφύγῃ τὴν δούλωσιν; εἰ δὲ καὶ πᾶν πτῆμα καιροῦ καὶ διάστημα ἐξ ἡμέρας καὶ νυκτὸς, ὡς ἐξ ὕλης τὴν σύστασιν ἔσχηκεν, αὗται δὲ δοῦλαι κατὰ τὴν γραφὴν καὶ τὸ σὸν μυσταγώγημα, εὔδηλον ὡς καὶ τὸ ἐκ τούτων, καὶ δι' αὐτῶν, καὶ ὅλον ἐν ὅλαις αὐταῖς οὐκ ἀποφύγῃ τὴν δούλωσιν, ἀλλ' ἄκων συνδουλογραφήσοιται.

Ταῦτα εἶπον, καὶ τὸν Κρατισθένην εὐθὺς κατεφίλησα· νικᾷς, λέγων, Κρατίσθενες· ὁ δ', ἔσω, νενίκηκας· γενώμεθα περὶ τὸ δωμάτιον· καὶ γεγονότες ἀνακεκλίμεθα· καί τις ψόφος περὶ τὸν κῆπον γενόμενος, τῆς κλίνης μ' ἀνέσπασε· καὶ περὶ τὸ φρέαρ τὴν Ὑσμήνην ὁρῶ, πρὸς ἣν κατεπέτασα, καὶ τοῦ ποδὸς ἐμνήσθην τοῦ Ἔρωτος, ὅτι μὴ κατ' ἄνθρωπον ἦν, ἀλλ' ὅλον πτερόν· καὶ τὸν ζωγράφον τῆς γραφῆς ἐμακάρισα· Ἔρως γὰρ καὶ τοὺς ἐμοὺς τούτους πόδας ἐπτέρωσε· καὶ μηδὲν αἰδεσθεὶς, ὅλαις χερσὶ τὴν κόρην καταχὼν κατεφίλησα.

Ἡ δ', ἐξ αἰδοῦς ϗ θάμβους τί πάσχεις, ἀνέκραζε; τῆς ἀπαιδείας τοῦ Κήρυκος! Ἐγὼ δὲ οὐδὲν, εἶπον, ἄλλο, πλὴν Ἔρωτος τὴν πικράν μοι ταύτην ϗ γλυκυτάτην πάθησιν· ϗ πάλιν κατεφίλουν αὐτὴν, ϗ πάλιν συνέσφιγγον, ϗ ὅλην εἷλκον πρὸς ἐμαυτὸν, ϗ πρὸς τὴν ψυχὴν μετεβίβαζον, ϗ τοῖς δακτύλοις κατέθλιβον, ϗ ὅλην κατέδακνον, ὅλην ἀνεῤῥόφων τοῖς χείλεσι, ϗ ὅλος ὅλην, ὡς κιττὸς, συνεῖχον κυπάριττον· συνεπλεκόμην τῇ παρθένῳ, συνεῤῥιζούμην αὐτῇ, ϗ τὴν φύσιν ἐζήτουν κοινώσασθαι, ϗ ἤθελον ὅλην καταφαγεῖν, ϗ ὅλην αὐτὴν καταρεύγεσθαι· ὅλην ἦγον παρὰ τὸ χεῖλος, ϗ ὡς ἐκ σίμβλου τοῦ χείλους τῆς κόρης μέλι γλυκάζον ἐτρύγων τοῖς χείλεσιν.

Ἡ δέ μοι γενομένη περὶ τὸ στόμα, δάκνει μου τὸ χεῖλος, ϗ τοὺς ὀδόντας αὐτῆς τοῖς ἐμοῖς κατεφύτευσε χείλεσι, καί μοι περὶ τὴν ψυχὴν ἐβλάστησαν Ἔρωτες ϗ Γιγάντων παλαμναιότεροι.

Ἐγὼ



Ἐγὼ δ' ἀλγήσας συνέσχον αὐτὰ, ϗ οἷον ἐστέναξα· ἡ δ' ἀλγεῖς τὰ χείλη, φησίν; ἀλλ' ἤλγησα κἀγὼ τὴν ψυχὴν, ὅτε μου ταῦτα, ϗ σὺ τὸν Ἔρωτα προπετῶς ἐπὶ τῆς τοῦ πατρὸς τραπέζης ἐξεφαύλισας.

Καὶ πρὸς τὴν κόρην ἐγώ· ἰδού μοι τἄλλα τῶν μελῶν ϗ θλιβέσθωσαν· τὰ δέ μοι χείλη τιμάσθω καθυπουργοῦντά μοι τοῖς φιλήμασιν· εἰ δέ μοι κέντρον φέρεις ὡς μέλιττα, ϗ φυλάττεις τὸ σίμβλον, ϗ πλήττεις τὸν τοῦ μέλιτος τρυγητὴν, ἐγκαρτερήσω τῷ σίμβλῳ, τὸν ἐκ τοῦ κέντρου πόνον ὑφέξω, ϗ τρυγήσω τοῦ μέλιτος· οὐ γάρ με στερήσει πόνος γλυκύτητος μέλιτος, ὥσπερ οὐδὲ ἄγκανθα ῥόδου, τοῦ ῥόδου κωλύσει με. ϗ πάλιν ἐφίλουν αὐτὴν, ϗ πάλιν συνέθλιβον, καί τι δρᾷν ἐπεχείρουν ἐρωτικώτερον.

Ἡ δ', ἀλλ' οὐκ ἔσται σοι τοῦτο νὴ τὴν Ὑσμίνην, φησίν· ἐγὼ δὲ οὐκ ἀνήσω νὴ τὸν Ὑσμινίαν, ἀντέλεγον· ϗ ἦν ἔρις παρ' ἡμῖν σωφροσύνης ϗ ἔρωτος· εἰμήτις αἰδὼ τὴν σω-

 φρο-

φροσύνην ἐκείνην ἐθέλει καλεῖν· ὁ μὲν γὰρ ὡς ἀπὸ γῆς μοι κρατῆρας ἀνῆπτε πυρός· ἡ δ', ὡς ἐξ ὀρφνοῦ τὴν κόρην ἐψέκαζεν· ὁ μὲν, ὅλας ἐξεκένου φαρέτρας· ἡ δὲ αἰδὼς τῇ Παρθένῳ ἀσπὶς ἑπταβόειος· ὁ μὲν, τὴν ἐν χερσὶ λαμπάδα κατ' ὀφθαλμῶν ἀνῆψεν ἐρωτικῶς, ϗ τὴν φλόγα πρὸς τὴν ψυχὴν μετερρίπιζεν· ἡ δ', ὅλας πηγὰς δακρύων ἐκ τῶν τῆς κόρης ὀφθαλμῶν ἀνεστόμωσεν· ἀλλ' ὕδωρ αἰδοῦς Ἔρωτος πῦρ οὐ κατέκλυσεν, ἀλλ' ἤδη στεφανίτης ἐγὼ, ϗ Σωφροσύνης Ἔρως ἐκράτησεν ἂν, εἰμήτις παρὰ τὴν πύλην γενόμενος, τῆς δυστυχίας! τὴν Ὑσμίνην ἐζήτει· πρὸς ὃ ϗ σφόδρα καταθορυβηθέντες ἡμεῖς, ἀπ' ἀλλήλων ᾠχόμεθα.

Καὶ ἡ μὲν παρθένος (εἰρήσθω γὰρ ϗ πάλιν παρθένος, οὕτω γὰρ δοκεῖ Σωφροσύνῃ ϗ Δαίμοσιν) ἐπὶ τῷ φρέατι γέγονε, ϗ ἦν περὶ τοῖς περὶ τὸ στεφάνωμα παρακαθημένοις πτηνοῖς, ϗ τούτοις προσπαίζουσα· ἐγὼ δὲ περὶ τὸ δωμάτιον γεγονὼς, ἀνεκεκλίμην εὐθὺς ϗ





ὅλος τὸν ὑπνοῦντα καθυπεκρινόμην, σοφῶς ἐμαυτὸν μεταπλάττων ἐξ αἰδοῦς, ϗ φόβου, ϗ Ἔρωτος· τὸ Κηρύκειον ᾐσχυνόμην, τὸν ἐκ δάφνης στέφανον, τὸ ἱερὸν πέδιλον, τὸν σεμνὸν χιτῶνα, ϗ τὰ Διάσια· τὸν Σωσθένην ἐφοβούμην, τὴν Πανθίαν, ϗ ὅλην Αὐλίκωμιν, ϗ μᾶλλον ἐμαυτοῦ τὴν Ὑσμίνην ἠλέουν ἐξ Ἔρωτος.

Ὁ δὲ καλὸς Κρατισθένης τῆς κλίνης ἀναστὰς, ϗ περὶ τὸν κῆπον γενόμενος, ϗ μήτε τὴν Ὑσμίνην ἰδὼν, μήτέ τινος περὶ τὴν οἰκίαν ἀκούσας φωνῆς· (ἦν γὰρ πάνθ' ὁρῶν τὰ γιγνόμενα) πρός μ' ἧκε λέγων, μηδέν σοι τοῦ πλάσματος· ἐγὼ δ' ὅλος ἀνέστην ὑπότρομος· ϗ ὁ Κρατισθένης, τῆς δειλίας τοῦ Κήρυκος! ἐγὼ δ' ὅλος ϗ πάλιν ἤμην ὑπότρομος, ϗ τὴν Ὑσμίνην ἐζήτουν ἰδεῖν, ὀλώλειν, λέγων, Κρατίσθενες· ϗ ὁ Κρατισθένης, σίγα, φησὶ, ϗ περὶ τὸν ὕπνον γενώμεθα. „σοφὸν γάρ τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν.

Ἐγὼ δὲ ἐσίγων μὲν, ἀλλά μου τοὺς ὀφθαλμοὺς ὁ ὕπνος ἐμίσησε, καὶ δυσωπούμενος ἔφευγε, καὶ ἤμην ὅλος ἄγρυπνος· ὅλος ὅλας ἀναπλάττων ὑποθέσεις τῷ λογισμῷ, καὶ τέλος ὡς οὐκ ἔτι τὴν καλὴν Ὑσμίνην καταφιλήσω, οὐκ ἔτι κατὰ κιττὸν συμπλακήσομαι, οὐκ ἔτι νέκταρ, ἀλλὰ κόνδυ πικρίας κεράσομαι· οὐκ ἔτι τρυγήσω τοῦ μέλιτος· οὐκ ἔτι τῷ κέντρῳ πληγήσομαι· οὐκ ἐκροφήσω τὴν κόρην τοῖς χείλεσιν· ἃ πάντα σπουδάζων ἐρωτικῶς ἔπαιζον· ταῦτα ἐπλαττόμην εἰς νοῦν, καὶ τὸ δάκρυον κατὰ ποταμοὺς τῶν ὀφθαλμῶν ἐξεχεῖτό μοι· καὶ ὁμοῦ καταχλύσαν τοὺς λογισμοὺς ἐναπέπνιξε, καὶ καταμεθύσαν εἰς ὕπνον μ' ἀπήγαγε.







# ΒΙΒΛΙΟΝ, Ε'.

Καὶ δή με κατακοιμώμενον ὅλος χορὸς ὀνείρων περιεστοίχισε, καί μοι συνέπαιζε, καὶ κατέπαιζεν, ὅσα παίζουσιν ὄνειροι· ὁ μέν μοι τὴν Ὑσμίνην ὑπεζωγράφησε συμπαίζουσαν, φιλουμένην, φιλοῦσαν, δακνομένην ἐρωτικῶς, ἀντιδάκνουσαν, ὅλην συμπλεκομένην μοι, καὶ καταπλεκομένην ἐξ Ἔρωτος· ὁ δέ μοι καὶ συνανέκλινε ταύτῃ, καὶ στρωμνὴν ἐρωτικῶν χαρίτων ὑπέστρωσε, φιλημάτων, γαργαλισμάτων, θλίψεων σαρκῶν, συμπλοκῶν χειλέων, περιπλοκῶν ποδῶν, χειρῶν ἐμπλοκῶν καὶ τῶν ἄλλων μελῶν.

Ὁ δέ τις ἄλλος αὐτῶν, ὅλον βαλανεῖον ἐδημιούργησε, καί μοι τὴν Ὑσμίνην συνέλουσε, καὶ πάσας ἐρωτικῶς ἐξεκένωσε τὰς χάριτας· περὶ τὸ στῆθος τῆς κόρης ὅλον μου

τὸ

στόμα συνέγραψα, τοῖς ὀδοῦσι δάκνων, τοῖς χείλεσιν ἐκμυζῶν, ϗ τῇ γλώττῃ μεταβιβάζων εἰς τὴν ψυχὴν ὅλον τὸν λωτόν· ἃ πάνθ' ἡ κόρη περὶ τὸν ἐμὸν ἀντέπραττε τράχηλον· ϗ θέλων παίζειν ἐρωτικῶς, τὸ λουτρὸν ἐξεπύρωσε· καί με καταδιψήσας, ϗ τεχνικῶς κατακαυματώσας, τοὺς μαστοὺς τῆς κόρης κρουνούς μοι παρεῖχε γλυκάζοντας· οὓς τῷ στόματι παραθέμενος, τῆς ψυχῆς μοι τὸ καῦμα κατέψυχε, ψυχρὰν ἡδονὴν πηγάζων γλυκυτέραν ϗ νέκταρος· ϗ τέλος ταῖς ἀλλήλων ὠλέναις ἡμᾶς κατεκοίμισεν.

Ἄλλος παστάδα κατέπηξε, νυμφοστολήσας ταύτην λαμπρῶς, ϗ φιλοτίμως νυμφαγωγήσας· ϗ στεφανώσας μοι τὴν Ὑσμήνην μεγαλοπρεπῶς συνεκάθισε· ϗ τράπεζαν παρετίθετο, ϗ τὸν Ὑμέναιον ᾖδε, ϗ τοὺς Ἔρωτας ἔπλαττε παρὰ τὴν τράπεζαν παίζοντας ϗ ὀρχουμένους, ὅσα παίζουσιν Ἔρωτες.

Ὁ δέ μοι πλάττει τὸν κῆπον παλαμναιότερος ὄνειρος, ϗ τὴν Ὑσμήνην εἰσάγει,

κἀ-



κάμε τῆς κλίνης ἀνίστησι, ϗ περὶ τὴν κόρην ἐξάγει, ϗ καθυπουργεῖ μοι τὸν Ἔρωτα· κἀγὼ τὴν παρθένον ἐφέλκομαι τὰ πρῶτα μὴ θέλουσαν, συνέχω, θλίβω, δάκνω, φιλῶ, περιπλέκομαι, καί τι δρᾷν ἐθέλων ἐρωτικώτερον, οὐ συνεχωρούμην τῇ κόρῃ, ϗ πρὸς ἔργον μετάγω τὸν ἔρωτα· ϗ μέσοις τούτοις ἡ τῆς κόρης μήτηρ ἐφίσταται, ϗ τοῦ πλοκάμου λαβομένη τῆς κόρης, ὡς ἐκ λείας ἐφέλκεται λάβρον, λοιδοροῦσα τῇ γλώττῃ, ϗ τύπτουσα τῇ χειρί.

Ἐγὼ δ' ὥσπερ κατακεραυνωθείς, ὅλος ἤμην ἐμβρόντητος· ἀλλ' ὁ πάντων ὀνείρων ἀγελώτατος ὄνειρος οὔτε μ' ἀφῆκεν ἀναισθητεῖν, ϗ τὴν τῆς Πανθίας γλῶτταν εἰς Τυρσηνικὴν μετεχάλκευσε σάλπιγγα κατατραγῳδοῦσαν τὰ κατ' ἐμέ, ϗ καταλοιδοροῦσάν μοι τὸ Κηρύκειον· βαβαὶ τῆς σκηνῆς, τῆς ὑποκρίσεως, λέγουσα! Ζεῦ, ϗ Θεοί! ὁ Κῆρυξ, ὁ παρθένος, ὁ τῇ δάφνῃ ἐστεφανωμένος, ὁ τὰ Διάσια φέρων εἰς Αὐλικώμιδα,

θα, ὁ παρ' ἡμῖν ἴσα ϗ Θεῷ φιλοτίμως φιλοφρονούμενος, μοιχὸς, ἀκόλαστος, βιαστὴς, δεύτερος Πάρις εἰς Αὐλικώμιδα, κατασυλᾶ μου τὸν θησαυρὸν, ἀνορύττει μου τὸ κειμήλιον! ἀλλ' ἔχω σε τὸν ληστὴν, τὸν τοιχωρύχον, τὸν ἀλιτήριον, τὸν ἀποσυλῶντα τὰ κάλλιστα.

Μητέρες, ὅσαι παρθενικοὺς θησαυροὺς κατορύττεσθε, ϗ περὶ τὴν φυλακὴν ἀγρυπνεῖτε τῶν θησαυρῶν, ἰδοὺ τὸν ἐπίβουλον ἔχω, τῷ τῆς δάφνης στεφάνῳ κατακοσμούμενον, τῷ σεμνῷ χιτῶνι, τῷ ἱερῷ πεδίλῳ, ϗ τῷ κηρύγματι· ὅλην ἐνδεδυμένον τὴν λεοντὴν, ὅλην ὑποπλαττόμενον τὴν σκηνήν· οἷς ὁ γλυκὺς ἀντιπνεύσας τῆς σωφροσύνης ζέφυρος, ἐλέγχει τὸν δόλον, ἀπογυμνοῖ τὸ κρυπτόμενον· ϗ νῦν οὐκ ἔτι Κῆρυξ ὁ παρ' ἡμῖν Κῆρυξ, ἀλλ' ἅρπαξ, ἀλλὰ ληστὴς, ἀλλὰ τύραννος· λάβον τὸν χιτῶνα τῷ τυράννῳ, γυναῖκες, ἐξυφανώμεθα· καταζωγραφήσωμεν τὴν σκηνὴν, τὴν ὑπόκρισιν τεχνουργήσωμεν.

ϗ



ϗ στηλιτεύσωμεν τῷ χιτῶνι τὸν τύραννον, οὐ ἦ τοῦτο γυναιξὶ κόσμος, παρθένοις τεῖχος, ϗ στέφανος Αὐλικώμιδος. „τί δ' ὁ γυναῖκες εἷλον Αἰγύπτου τέκνα; Πολυμνήστωρ οὐκ ἐκ γυναικῶν ἐξεκόπη τοὺς ὀφθαλμούς; ταῦτ' εἶπε, ϗ στρατὸν καθώπλισε γυναικῶν, ϗ παντελῶς κατεβάκχευσε, ϗ κατ' ἐμῆς κεφαλῆς κατεστράτευσεν.

'Εγὼ δ' ἐξεθαμβήθην ὁρῶν, ϗ πρὸς τὸν Κρατιθένην ἔλεγον, ὀλώλειν, Κρατίθενες. ὁ δέ μου τῇ γλώττῃ καταθορυβηθεὶς ἀνίσταται τῆς στρωμνῆς, πλήσσει με τῇ χειρὶ, ϗ τὸν μὲν ὄνειρον τῆς ψυχῆς, τὸν δὲ ὕπνον ἀποσπᾷ μου τῶν ὀφθαλμῶν.

'Εγὼ δὲ ἐδόκουν, νὴ τοὺς Θεοὺς, ἔτι τὰς γυναῖκας ὁρᾷν, ϗ πρὸς τὸν Κρατιθένην ἔλεγον· ἀπολώλαμεν, ἀπολώλαμεν! Πανθία στρατεύει, ϗ γυναῖκες τὸ στράτευμα. Ζεὺς δὲ τὸ πρῶτον κατεστρατήγησεν, οὗ τὸ Κηρύκειον ἔψευσμαι! ϗ ὁ Κρατιθένης· ἔτι δοκεῖς ὀνειρώττειν μοι. 'Εγὼ δὲ πρὸς αὐτὸν,

ἀπο-

ἀποπέμπομαι ἔνυχον ὄψιν· καὶ τὰ παρὰ τοὺς ὕπνους ἐξηγούμην αὐτῷ, ὅσα με κατεγλύκαινον, ὅσα με πρὸς ἡδονὴν μετεπλάττοντο· καὶ τέλος τὸν κῆπον, τὴν Ὑσμίνην, τὴν σωφροσύνην αὐτῆς, τὴν ἐμὴν βίαν, τὴν ἔριν, καὶ τὴν ἐπὶ τούτοις τῆς Πανθίας ἐπίθεσιν, τὸν ἑλκυσμὸν τῆς κόρης, τὴν κατ' ἐμοῦ μηχανήν, τὴν καταδρομήν, τὴν ὕβριν, καὶ ἐπὶ πᾶσι τὸ τῶν γυναικῶν στράτευμα, πρὸς ὃ δὴ σφόδρα καταθορυβηθεὶς τὴν ψυχήν, σὲ τὸν καλὸν Κρατισθένην ἐπεκαλούμην πυκνά· καὶ δέδοικα, μὴ τὸ μέλλον μοι τὸ Δαιμόνιον ἐν ὕπνοις ὑπεζωγράφησεν· εἴθισται γὰρ τούτῳ προκηρύσσειν ἐν ὀνείροις τὰ μέλλοντα.

Καὶ ὁ Κρατισθένης, μεθημερινὴ φροντὶς ἐστὶν ὄνειρος· ταῦτά σε καθυπέτρεχεν, ὅθ' ὁ περὶ τὴν πύλην ψόφος ὑμᾶς ἀπ' ἀλλήλων διέσπασεν· ἀλλ' ἤδη Σωσθένην ὁρῶ πρὸς ἡμᾶς ἐρχόμενον σπουδαιότερον· ἐγὼ δ', ὀλώλειν, ὑπεψιθύριζα.

Ἧκεν ὁ Σωσθένης, καὶ περὶ τὴν πύλην γενόμενος



τοῦ δώματος, Ὑσμηνίᾳ Κῆρυξ, φησίν, ἰδού σοι πᾶσα πόλις Αὐλίκωμις πρὸ τῶν πυλῶν· πάντες ζητοῦσι τὸν Κήρυκα, τὴν κεφαλὴν στεφανώθητι, τῷ χιτῶνι καὶ τῷ πεδίλῳ κατακοσμήθητι, ὅλον περιδύθητι τὸ Κηρύκειον, ἵνα σε καὶ Ποσειδῶν αἰδεσθῇ καὶ πνὰ θύσῃ Διῒ μετάγον εἰς Εὐρυκώμιδα.

Ἐγὼ δ', ἀλλὰ κἂν ἐδεδοίκειν, κἂν ἔφριττον, κἂν χρωματισμὸν τὰ τοῦ Σωσθένους εἶχον καὶ ὅλην σκηνὴν τὸν Κήρυκα, καὶ περὶ τὸν κῆπον γενόμενος, χορὸν ὁρῶ παρθένων οὐκ εὐαρίθμητον, ὃν δὴ καὶ χιτὼν πάντα κατεκόσμει περικαλής, καὶ στέφανος ἐκ δάφνης τὴν παρθενίαν παραδεικνύς.

Εἶδον οὖν, καὶ νὴ τὸν τύραννον Ἔρωτα, τοῖς ἔργοις ἐδόκουν ὁρᾶν αὐτὸν τὸν ὄνειρον· καὶ μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀπεφύσησα, εἰ μὴ καὶ τὴν Ὑσμίνην εἶδον ἐν μέσῳ καθάπερ Σελήνην ἐν ἄστρασι, τἆλλα μὲν κατακεκοσμημένην βασιλικῶς, τὴν δὲ κεφαλὴν ἐκ δάφνης ἐστεφανωμένην παρθενικῶς.

ΚΗ ΤΗΣ ΒΟΥΛΗΣ

Ὅλην τοίνυν ἀτενῶς τὴν κόρην ἰδὼν, ϗ τὴν κεφαλὴν ὑποκλίνας, ὑπέκλεψα τὸ προσκύνημα· ἡ δὲ, καθυποκριθεῖσα τὸ τὸν χιτῶνα διακοσμεῖν, ἀντιπροσεκύνησε φανερώτερον, ϗ λίαν ἐρωτικὸν ἐμειδίασε, καί μου τὴν ψυχὴν ὅλην ἐπλήρωσεν ἡδονῆς ἀῤῥήτου ϗ χάριτος. ϗ θάῤῥους ἐνέπλησεν.

Ἥκω περὶ τὴν πύλην τοῦ κήπου, ϗ πᾶσαν ὁρῶ τὴν Αὐλίκωμιν, ποικίλην μοι τὴν προπομπὴν ἐξυφαίνουσαν, ᾠδαῖς, κυμβάλοις, παστάσι, λαμπάσι, ῥόδοις, ἄνθεσιν, ὕμνοις, ἀλαλαγμοῖς, ϗ πᾶσιν ἄλλοις, ὅσα μὴ Κήρυξιν, ἀλλὰ Θεοῖς ἀφωσίωνται· ϗ ἵνα μὴ δοκῶ σοι δοξομανεῖν κατὰ μέρος καταῤῥητορεύων τῷ λόγῳ τὴν προπομπὴν, οὕτω τὴν καλὴν ἐξῆλθον Αὐλίκωμιν, τὴν τῆς Ὑσμίνης πατρίδα, τὴν καλλιγύναικα, ὡς ὀλυμπιονίκης, ϗ νικήσας τὸν πένταθλον. ϗ ἵνα τἀνμέσῳ παρῶ, περὶ τὴν ἐμὴν ἧκον Εὐρύκωμιν· ϗ πάλιν ἡ πόλις ὀρθὴ, ϗ πάλιν ὄχλος ἐπὶ τὸν Κήρυκα, ϗ πάλιν ἔρις

ἐν



ἐν πόλεσι· δοκεῖ γάρ μοι πόλις Εὐρύκωμις πατρὶς ἐμὴ πρὸς αὐτὴν ἐρίζειν Αὐλίκωμιν τὴν τῆς Ὑσμίνης πατρίδα, ϗ μὴ παραχωρεῖν τῶν πρωτείων τῆς προπομπῆς.

Οὕτω τοίνυν, οὕτω λαμπρῶς, οὕτω φιλοτίμως, οὕτω βασιλικῶς, ἐπ' αὐτὸν ἥκω βωμὸν ξενίου Διός· καί μοι συνείπετο πᾶν τὸ συνεκπλεῦσαν ἐξ Αὐλικώμιδος· ἀλλ' ἐμὸς πατὴρ Θεμιστεὺς, ϗ μήτηρ Διάντεια ἐν μέσῳ λαμπρῷ θεάτρῳ, ϗ μέσοις ὄχλοις περιχυθέντες με περιπτύσσονται, καταπλέκοντες τοῖς ἐξ ἡδονῆς με καταβρέχουσι δάκρυσι· καί με περὶ τὸν οἶκον μετάγουσιν.

Ἐγὼ δὲ, ἀλλὰ ϗ τὸν Σωσθένην, εἶπον, ὅτι με λαμπρῶς μάλα ϗ φιλοτίμως ἐς Αὐλίκωμιν ἐφιλοφρονήσατο· πείθεταί μοι τῷ λόγῳ πατὴρ Θεμιστεὺς, ϗ πρὸς αὐτὸν γεγονὼς, χαίροις Σώσθενες εἶπε, καί σοι χάρις ξενίῳ Διῒ τῆς φιλοφροσύνης τοῦ Κήρυκος, ϗ τοῦτον σὺν ἡμῖν ἐπὶ τὴν ἡμετέραν μετήγαγε, σὺν αὐτῇ Παιδίᾳ σὺν Ὑσμίνῃ, ϗ σὺν

ὅσα

ὅσοι τῷ Σωσθένει πρὸς Ξυρύκωμιν ἐξ Αὐλικώμιδος συμπεπλεύκασιν.

Ἥκομεν οὖν ἐπὶ τὴν οἰκίαν, ϗ τράπεζα παρετίθετο, ϗ ἡμεῖς ἀνεκλινόμεθα. ἐκ μὲν οὖν τοῦ τῆς περὶ τὸν πῆπον τῆς τραπέζης πλευρᾶς μέρους, πατὴρ ἐμὸς Θεμιστεὺς, μήτηρ Διάντεια, ϗ τρίτος ἐγὼ, ὅλον ἀποθέμενος τὸ Κηρύκειον· ἐκ δὲ θατέρου Σωσθένης πατὴρ Ὑσμήνης, Πανθία μήτηρ· μετὰ δὲ τὴν μητέρα τὴν Ὑσμήνην ἡ τάξις ἐκάλεσεν, κἀγὼ οὖν κατ᾽ ἐμαυτὸν τὴν τάξιν ἐπῄνεσα, ταύτης ἐμαυτὸν ἐμακάρισα, τὸ πρᾶγμα κρίνων οἰωνὸν αἰσιώτατον, ϗ ἐξ αὐτῆς, ὅφασι, γραμμῆς εὐτυχὴς ἐδόκουν εἰς Ἔρωτα.

Πότου οὖν ἐκάλει καιρὸς, ϗ παρὰ Σωσθένει, ϗ Θεμιστεῖ πατράσιν ἡμῶν μικρὸν ὑπέπαιζεν ἔρως· οὐχ ὡς παίζουσιν ἔρωτες, ἀλλ᾽ ὡς οἶδε παίζειν ἐν γέρουσι φρόνησις. Προπίνει οὖν Σωσθένης ἡττόμενος, ϗ Θεμιστεὺς νικῶν μετ᾽ αὐτόν· νίκη γὰρ παρ᾽ αὐτοῖς, ὁ πρὸς

μὴ



μὴ φρονοῦσιν ἧττα λογίζεται· ϗ μετ᾽ αὐτοὺς αἱ γυναῖκες τιμῶσαι σιγὴν, ὅτι ϗ κόσμος γυναιξὶν ἡ σιγή.

Μετὰ οὖν τὴν Πανθίαν, ϗ τὴν ἐμὴν μητέρα Διάντειαν, ἧκε φέρων ἐπ᾽ ἐμὲ Καλλισθένης τὸ ἔκπωμα· τούτῳ γὰρ ὁ πατὴρ οἰνοχοεῖν ἐγκελεύεται. ἐγὼ δὲ λαβὼν μικρὸν ἐξεῤῥόφησα, εἶθ᾽ ὡς ἐκ μεταμέλου πρὸς τὸν δόντα ἀντιδέδωκα, καταλοιδορήσας αὐτῷ τῆς ἀταξίας, ϗ τῆς τῆς εὐταξίας συγχύσεως· ἡ γὰρ τάξις τῇ κατὰ μέτωπόν μου παρθένῳ τὸ προπιεῖν ἐχαρίσατο· ὁ δὲ, πεισθεὶς πρὸς αὐτὴν ἐκόμισε τὸ ποτήριον· ἡ δ᾽, ὅλαις χερσὶν ὑπεδέξατο, κἂν ὡς παρθένος ἄκροις δακτύλοις ἐδέξατο· ϗ τὸν νοῦν ὅλον λαβοῦσα τοῦ δράματος, εὐχαριστεῖ μοι τῷ σχήματι, μικρὸν τὴν κεφαλὴν ἐρωτικῶς ὑποκλίνασα, οἷον κυπάριττος ἀνεμουμένη μικρὸν ἐξ εὐκραοῦς ζεφύρου λεπτοῦ. ϗ ἦν τὸ σχῆμα Χαρίτων μεστὸν, ϗ εἴδωλον Ἔρωτος. Οὕτως ἐκοινούμεθα τὸ ποτήριον, ϗ ἦμεν ὅλοι συμπί-

νον-

νοντες, ϗ λίαν ἐρωτικῶς καταπίνοντες· ὅτῳ τὰ χείλη παραδόξως ἀνεκεκράμεθα, ὅλον ἐρώτων ἐρατὸν ὀπὸν ἀμελγόμενοι, ϗ ὅλους ἀλλήλους τοῖς ὀφθαλμοῖς μεθέλκοντες ἐπὶ τὰς ψυχάς.

Πότε ϗ πάλιν καιρὸς, ϗ πάλιν Καλλισθένης κιρνᾷ· ϗ πάλιν Σωσθένης προπίνει, ϗ μετ' αὐτὸν ὁ πατὴρ, Πανθία συνήθως, ϗ μήτηρ Διάντεια, ϗ μετ' αὐτὴν Ὑσμήνη παρθένος ἔρωτος πνέουσα· ἡ δὲ, κατὰ παρθένον ἄκροις δακτύλοις δεξαμένη τὸ ἔκπωμα, ϗ τοῖς χείλεσι παρθενικῶς προσεγγίσασα, ϗ μόνον γευσαμένη τοῦ πόματος, ὅλον ἀποδέδωκε τὸ ποτήριον, παρθενικῆς αἰδοῦς καθυπουργησάσης τῷ πλάσματι· ϗ πρὸς τὸν Καλλισθένην ἐγώ· (οὐδὲ γὰρ, οὐδὲ ἐμὲ τὸ πλάσμα διέλαθεν) ὅλην ἀτενῶς ὁρῶντα τὴν κόρην, ὅλην εἰκονίζοντα κατὰ νοῦν, ϗ ὅλην ἀναπλαττόμενον· ἐμὲ δ' ἐξεπύρωσε τὸ κηρύκιον, ϗ διψαλεώτατον ἔθηκε, καί μοι παράσχου τὸ ἔκπωμα· ὁ δὲ (ἀλλὰ τί γὰρ ἄλλο ποιεῖν ἔ-





μελλε;) παρετίθετο, ϗ νὴ τὸν Ἔρωτα τὴν παρθένον ἐδόκουν πίνειν αὐτήν· τὰ χείλη ταύτης κατεφίλουν ἐρωτικῶς, ϗ φιλῶν ὑπέκλεπτον τὰ φιλήματα· ὑπηρέτην εἶχον τὸ ἔκπωμα τῆς ἐμῆς φίλης Ὑσμήνης τὰ χείλη μετακομίζον μοι· ἐξεῤῥόφουν τοῦ πόματος, ϗ νὴ τοὺς Θεοὺς τοιοῦτον εἰς αὐτὴν κατέῤῥει μου τὴν ψυχὴν, οἷον ἐν ὀνείροις ἀπὸ μαζῶν ἐξεῤῥόφησα, ϗ περιεργότερον ὅλον ἐπέβλεπον τὸ ποτήριον, μήτι τοῦ χείλους τῆς κόρης τῷ χείλει τοῦ ποτηρίου κεκόλληται· ἡ δ' ὁρῶσά μου ϗ τὸ σχῆμα, ϗ τὸ βλέμμα, ϗ τὴν μεθ' ἡδονῆς τοῦ πόματος ἀναῤῥόφησιν, ἐρωτικῶς ἐμειδία, ϗ χάριτας ὅλας ὡς ἐν κατόπτροις ὑπεζωγράφησε τοῖς ὀφθαλμοῖς, ϗ ὅλον τὸν Ἔρωτα.

Μετὰ γοῦν πολυτελεῖς τὰς τροφὰς, αἷς μέχρι χειρὸς ϗ στόματος ἐνετρύφων· ὀφθαλμοὺς γάρ μοι ϗ ὅσον αἰσθητικώτερον ἡ παρθένος ἐρωτικὸν ἐξωνήσατο, ϗ ταύτῃ δουλεύουσιν· ὁ Καλλισθένης ϗ πάλιν ἐπὶ τῷ λει-

τουργήματι, καὶ μετὰ πατέρας, καὶ μητέρας ἡμῶν, ἐπὶ τὴν κόρην ἧκε κιρνῶν, ἡ δ', ἀλλὰ καὶ πάλιν μικρὸν ἐκροφήσασα, πρὸς τὴν μητέρα φησὶ παρθενικῇ φωνῇ, καὶ οἵαν ἐκ ζεφύρου πίτυς ὑπεψιθύρισεν ἄν· μῆτερ οὐκ ἐθέλω πιεῖν· ἡ δὲ Πανθία πρὸς τὸν Καλλισθένην φησὶ, τέκνον λαβοῦ τὸ ποτήριον· ὁ δ', ἐκ τῶν τῆς κόρης χειρῶν ἀνελόμενος, ταῖς ἐμαῖς παρατίθησιν· ἐγὼ δὲ πάλιν ἐδόκουν τὴν κόρην λαβεῖν, καὶ ὅλην αὐτὴν ἐκροφᾷν, καὶ εἶχον τὸ ἔκπωμα φιλημάτων γέμον, καὶ διακομίζον φιλήματα, καὶ κατεφίλησα τὰ φιλήματα, καὶ ἦν μοι νέκταρ τὸ πόμα, οἷον Ἀφροδίτη κιρνᾷ καὶ πίνουσιν Ἔρωτες· τὸ δ' ἔκπωμα κάτοπτρον, ὅλην αὐτὴν κόρην, σὺν αὐταῖς χάρισι, σὺν αὐταῖς ἡδοναῖς μεταβιβάζον μου περὶ τὴν ψυχήν. Καὶ μετὰ πολυτελεῖς τὰς τροφὰς, καὶ πόσεις, καὶ τἄλλα ὁπόσα κοσμοῦσι συμπόσια, κατελύετο τὸ συμπόσιον.

Καὶ πατὴρ ἐμὸς Θεμιστεὺς, καὶ μήτηρ

Διάν-



Διάντεια, Σωσθένη, καὶ Πανθίαν, καὶ τὴν καλὴν Ὑσμίνην ἐπὶ τὸ δωμάτιον ἄγουσιν, ὃ τούτοις ἀφώριστο· καὶ οὕτως ἀπ' ἀλλήλων ᾠχόμεθα· μητρὸς ἐμῆς Διαντείας περιπλακείσης τῇ κόρῃ, καὶ φιλημάτων πληρωσάσης τὸ πρόσωπον· ἐγὼ δ' ἀλλ' ἐφθόνουν τὴν μητέρα, καὶ τὴν φύσιν, νὴ τοὺς θεοὺς, ἐδόκουν ἀλλάξασθαι· ἐπεὶ δὲ τοῦτο μὴ παρῆν, τὰ χείλη τῆς μητρὸς κατεφίλησα, καταφιλῶν τεχνικῶς τῆς κόρης τὸ πρόσωπον, καὶ εἶχον τὴν μητέρα καθυπουργοῦσαν εἰς Ἔρωτα, καὶ μετακομίζουσάν μοι φιλήματα.

Περὶ μὲν οὖν δὴ πατρὸς ἐμοῦ καὶ μητρὸς οὐκ οἶδ' ἀκριβῶς πῶς παρὰ τὴν παρθένον εἶχον, καὶ πῶς αὐτῆς ἀπηλλάττοντο· ἐγὼ δὲ μόνοις ἀπεσπώμην ποσί· τὴν γάρ μου ψυχὴν καὶ ὀφθαλμὸν καὶ τὸν νοῦν, ὡς παρακαταθήκην ἀφῆκα τῇ κόρῃ, καὶ οἷον ἐχέγγυον· καὶ περὶ τὴν κλίνην γενόμενος, μυρίοις κατετυραννούμην τοῖς λογισμοῖς, τὴν ψυχὴν ἐπολιορκούμην, καὶ τῶν ὀφθαλμῶν ἡρπαζόμην τὸν ὕπνον, ὡς

λα-

λάφυρον· τὴν Αὐλίκωμην τῆς φιλοξενίας ἐθαύμαζον, ἣ καὶ μέχρι ποδῶν ἐκτείνει τὸ ξένιον· παρ' ἡμῖν δὲ οὐδὲ μέχρι χειρῶν, οἷς βωμὸς ξενίου Διὸς, οἷς ἑορτὴ τὰ Διάσια· ἵνα τί γὰρ κἀγὼ μὴ τοὺς πόδας πλύνω τῆς κόρης, ὡς αὐτὴ φιλοτίμως τοὺς ἐμοὺς κατέπλυνεν; ἵνα κατ' ἐκείνην κἀγὼ φιλήσω καὶ θλίψω, καὶ καταμαλθακήσω ταύτην ἐρωτικῶς, ὅσα με τότε κατεμαλθάκησεν; οὕτω κατετυραννημένην ἐξ Ἔρωτος, καὶ τὸ πολὺ τῆς νυκτὸς λογισμοῖς παρεμετρούμην ἐρωτικοῖς, καὶ ὕπνον εἶχον καὶ ἡδονὴν, τὸ περὶ τὴν κόρην ἀγρύπνως διασκοπεῖν· ἀλλ' ὁ κόπος εἰς ὕπνον μεθεῖλκε τοὺς ὀφθαλμοὺς, καὶ ἦν ἀγὼν παρ' ἐμοὶ καὶ κόπου καὶ Ἔρωτος· οἱ δ' ὀφθαλμοί μου μέσον ὡς πόλις πολιορκούμενοι.

Ὁ μὲν οὖν βαρὺς κόπος ὡς ἀπὸ μηχανῆς τινος ἐπὶ τοὺς ὀφθαλμοὺς ἠκροβόλιζεν· ὁ δ' Ἔρως ταῖς ἀλλεπαλλήλοις τῶν ἐννοιῶν ὅλους καταφραξάμενός μου τοὺς ὀφθαλμοὺς, πρὸς τοὺς ἀκροβολισμοὺς ἀπεμάχετο, καὶ κόπος με-

τὰ



τὰ πολὺ κονίσρας ἐκράτησε, καὶ τὴν νίκην ὑπέκλεψεν, ὡς ἐξ ὀπῆς τινος ὕπνον λεπτὸν τοῖς ὀφθαλμοῖς μου ἐμβαλών.

Περὶ δὲ τὴν τρίτην φυλακὴν τῆς νυκτὸς πατὴρ ἐμὸς Θεμιστεὺς, καὶ μήτηρ Διάντεια σὺν Σωσθένει καὶ Πανθίᾳ, καὶ ὅσοι τούτοις ἐξ Αὐλικώμιδος εἵποντο, περὶ τὸν βωμὸν σὺν αὐτοῖς ἐγένοντο, θύμασι θύσοντες σωτῆρι Διῒ, καὶ τὰ πρόσφορα λειτουργήσοντες· Ὑσμίνη δὲ μόνη περὶ τὸ δωμάτιον καταλέλειπται· ὅτι οὐ προσῆκον παρθένοις ἀνδρῶν ἐναντίον χωρεῖν· ἐγὼ δὲ (οὐδὲ γὰρ ἠγνόησα τὸ γενόμενον) περὶ τὴν κλίνην ἐγενόμην τῆς κόρης εὐθύς· καὶ κοιμωμένην αὐτὴν κατεφίλησα· ἡ δ', ἐκπλαγεῖσα τῷ παραδόξῳ τοῦ πράγματος, τῆς στρωμνῆς ἀπεπήδησε, βαβαὶ τοῦ θαύματος λέγουσα! κἀγὼ συνέχων εἰπὼν, μὴ δέδιθι δέσποινα· Ὑσμινίας ἐγὼ, καὶ λέγων πάλιν ἐφίλησα· ἡ δ', ἀλλὰ ποῦ μοι πατὴρ καὶ μήτηρ, ἐζήτει μαθεῖν· ἐγὼ δὲ, εἰς βωμὸν ξενίου Διὸς ὡς θύσωσιν, εἴρη-

κα,

κα, ἡμεῖς δὲ οὐ θύσωμεν Ἔρωτι; θύσωμεν πάντως καὶ παρθενίαν αὐτήν, καὶ ὅλας αὐτάς· καὶ περιπλακεὶς τὴν κόρην, καὶ ταύτην φιλῶν ἀνεκλίμην ἐρωτικῶς· ἡ δ', ἀντεφίλει μὲν, ἀλλ' ὡς παρθένος ἐξ αἰδοῦς ὑπέκλεπτε τὰ φιλήματα· ἐγὼ δὲ ἐφίλουν ἐρωτικώτερον, καὶ τοῖς ὀδοῦσι δάκνων τροφὴν ἐτρεφόμην ἐρωτικήν, οἵαν Ἀφροδίτη τοῖς ἐρασταῖς παρατίθεται· ἡ δ', ὑπεστέναζε λεπτὸν ἀφροδίσιον. καὶ τὸ λεπτὸν ἐρωτικὸν ἀποστέναγμα ὅλην ἡδονὴν ἐς αὐτήν μοι μέσην τὴν ψυχὴν ἐστάλαξεν· ὅλην ἀνεπλεκόμην τὴν κόρην, ὡς ἄμπελον, καὶ τοὺς ὀμφακίζοντας τῶν βοτρύων ἐκθλίβων τῷ στόματι, νέκταρ ἐξεῤῥόφουν τοῖς χείλεσιν, οἷον ἀποθλίβουσιν ἔρωτες, καὶ τοῖς δακτύλοις ἀπέθλιβον, καὶ τοῖς χείλεσιν ἔπινον, ἵνα τὸ πᾶν ὡς εἰς πίθον ψυχὴν τὴν ἐμὴν ἐκθλίβῃ μοι τοῦ νέκταρος· οὕτως ἀκόρεστος ἐγὼ τρυγητής· ἡ δ', ἀντεφίλει καὶ κατεφίλει με, καὶ κατὰ κιττὸν ἀνεπλέκετο, καὶ οὕτως ἡμᾶς μυρίαι περιεχόρευον χάριτες.

Μετὰ



Μετὰ γοῦν δὴ συχνὰς περιπλοκὰς καὶ φιλήματα, καὶ τἄλλα ὁπόσα παίζειν διδάσκουσιν Ἔρωτες, ὅλον ἐπεχείρουν καταῤῥοφῆσαι τὸν Ἔρωτα, καὶ μηκέτι παίζειν, ἀλλὰ σπουδάζειν ἐρωτικῶς, καὶ μὴ ὡς κορῶναι κρώζειν ἐν ἀνεπιξέστῳ τῷ δώματι· ἡ δ' ἀλλὰ καὶ λίαν ἀντέτεινε καὶ χερσὶ, καὶ ποσὶ, καὶ γλώσσῃ, καὶ δάκρυσιν· Ὑσμηνία λέγουσα, φεῖσαι παρθενίας ἐμῆς! μὴ πρὸ τοῦ θέρους ἐκτίλῃς τοὺς στάχυας, μὴ τὸ ῥόδον τρυγήσῃς πρὸ τοῦ προκύψαι τῆς κάλυκος, μὴ τὴν σταφυλὴν ὀμφακίζουσαν, μή πως ἀντὶ νέκταρος ὄξος ἐκθλίψῃς ἐξ ὄμφακος· σὺ θερίσεις τὸν ἄσταχυν, ἀλλ' ὅταν λευκανθῇ σοι τὸ λήϊον· σὺ τὴν ῥοδωνιὰν ἀπανθίσεις, ἀλλ' ὅταν τὸ ῥόδον πεπανθὲν προκύψῃ τῆς κάλυκος· σὺ τὴν σταφυλὴν τρυγήσεις, ἀλλ' ὅταν ἴδῃς τὸν βότρυν περκάσαντα· ἐγώ σοι φύλαξ ἀκοίμητος, ἀπαραχείρητος αἱμασιὰ, καὶ φραγμὸς ἀνεπίβατος· τί σοι κέρδος ἀποσυλῆσαί με τὸ σεμνόν; παρθένος ἧκον εἰς Εὐρυκώμιδα. τί

σοι κέρδος ἀπάρθενον παλινοςῆσαί μ' ἐς Αὐλικώμιδα; ἐρῶσε Κῆρυξ, ἐχ υποκρύπτω τὸν Ἔρωτα· βάλλομαι τὴν ψυχὴν, τὸ βέλος ὁμολογῶ· πυρπολῦμαι τὰ σπλάγχνα· ἢ τὸ πῦρ ἐκ ἀρνήσομαι· πλὴν ἐχὶ ἢ προδόσω τὰ κάλλιςα, τὴν παρθενίαν φυλάξω, ἢ σοὶ ταύτην παραφυλάξομαι· ταῦτ' ἔλεγεν ἡ κόρη, ἢ κατὰ ποταμὲς κατεκένε τὸ δάκρυον.

'Εγὼ δὲ πρὸς αὐτὴν, ἐπὶ σοὶ βίβλῳ κατεμυήθην τὸν Ἔρωτα· διὰ σὲ δȣ̃λος ἐξ ἐλευθέρε γεγένημαι, διὰ σὲ φιλίε Διὸς ἀντηλλαξάμην Ἔρωτα τύραννον· ἐδὲν μοι πατρὶς, ὁ πατὴρ, ὁ θησαυρὸς, ὃν μοι πολὺν ἀπεθησαύρισεν ὁ πατὴρ, ἐδ' ἄλλο τῶν ὄντων ἐδέν· σὺν σοὶ θανȣ̃μαι· ἢ περιπλακεὶς αὐτὴν κατεφίλησα, καί με τῶν ὀφθαλμῶν ἀπέῤῥει τὸ δάκρυον, ἢ περιπλακέντες τοῖς δάκρυσιν ἐβρεχόμεθα· ἢ μεθ' ἱκανὸν, 'Υσμήνη με τὲς ὀφθαλμὲς κατεφίλει, ἢ φιλȣ̃σα, φησίν· 'Υσμηνία τȣ̃τό σοι λοίσθιον φίλημα· ἐγὼ γὰρ σὺν πατρὶ ἢ μητρὶ μετὰ



τὰ τρίτην ἡμέραν παλινοςήσω πρὸς Αὐλικώμιδα· σὺ δ' ἔσῃ πρὸς Εὐρυκώμιδα τὴν σὴν, καί σοι κόρην ἑτέραν ὁ πατὴρ ἐς γάμον ἀγάγεται· ἢ σὺ μὲν θύσεις τὲς γάμες, τῆς ἐμῆς ταύτης νῦν φίλης 'Υσμήνης λαθόμενος, ἢ φιλημάτων ἐρωτικῶν, ἢ τῶν ἄλλων τοίων περιπλοκῶν· ὧν πάντων εἰς κενὸν, ὡς ἐν ὀνείροις κατετρυφήσαμεν· ἐγὼ δ' ἐδ' ἐν ἀΐδαο λήσομαι φιλίας τῆς σῆς, 'Υσμηνία γλυκύτατε, καί σοι φυλάξω τὴν παρθενίαν ἀπαραχείρητον, ἐδ' γὰρ αὐτȣ̃ Διὸς φίλημα τοῖς σοῖς κατεπιθήσω φιλήμασιν, ἐ μὰ τὸν φοβερὸν Ἔρωτα, ἵς με ταῖς σαῖς ταύταις χερσὶν, ὡς ὄρνιν παρέθετο.

Ταῦτ' εἶπε, ἢ παρὰ τὸ ςέρνον τȣ̃το τȣ̃μὸν ὅλον κατεπιθεῖσα τὸ πρόσωπον, κατέβρεχέ με τοῖς δάκρυσιν· ἐγὼ δὲ πρὸς αὐτήν· 'Υσμήνη παρθένε! μέλημα ἐμὸν, φῶς ἐμῶν ὀφθαλμῶν, πηγή μοι ςάζȣσα μέλιτος, ὄμβρε χαρίτων, σὺ μὲν φιλȣ̃σα, λοίσθιον λέγεις τὸ φίλημα, ἐγὼ δ' ὅσος ἐρασὴς,

ϗ δȣ̃λος ἐξ Ἔρωτος, σὺν σοὶ θανȣ̃μαι· ȣ̓ ἀποσυλήσω ταύτην, ȣ̓κ ἐξȣσίων πατρὸς, ȣ̓ μητρὸς πειθῶ, ȣ̓δ' εἰ τὴν Ἀφροδίτην ἀγάγωνται, ȣ̓ μὰ Δία πατέρα πάντων θεῶν. ȣ̓ Κῆρυξ ἧκον εἰς Αὐλικώμιδα πατρίδα τὴν σὴν, ϗ δȣ̃λος τῶν σῶν χαρίτων ϗ τὴν ἐμὴν ταύτην Εὐρύκωμιν ἀνθυπέςρεψα. ϗ δὴ τῆς ἡμέρας διαγελώσης καταφιλήσας τὴν κόρην, ἐξῆλθον τȣ̃ δωματίȣ, ϗ περὶ τὴν ἐμὴν ἐγενόμην κλίνην, ὡς ἐν ὑποπτέρῳ ποδὶ, ϗ τοῖς ὕπνοις ἐσπεισάμην εὐθὺς, ὡς εἰ περὶ τὴν κλίνην εὗρον αὐτῆς.







# ΒΙΒΛΙΟΝ, ς'.

Ὁ μὲν ȣ̓ν πατὴρ ὁ ἐμὸς Θεμιςεὺς σὺν Σωσθένει ϗ μητράσιν ἡμῶν, ἐπανῆκον ἐκ τȣ̃ βωμȣ̃, ξενίῳ Διῒ θύσαντες τὰ πρόσφορα, καὶ μοι Διάντεια μήτηρ παρὰ τὴν κλίνην γενομένη τὴν ἐμὴν, ἐξυπνίζει με λέγȣσα· τέκνον Ὑσμηνία, καιρὸς ἀρίςȣ, σὺ δ' ȣ̓κ ἔτι τὸν ὕπνον ἀπώσῃ τῶν ὀφθαλμῶν; ἀνάςηθι ϗ περὶ τὸ δεῖπνον γενώμεθα· σὸς γὰρ πατὴρ Θεμιςεὺς ἀνακέκλιται σὺν Σωσθένει, ϗ τοῖς ὅσοι παρὰ τὸ δεῖπνον καλοῖς. σὺν αὐτῇ γȣ̃ν μητρὶ περὶ τὴν τράπεζαν γεγονὼς, συνήθως ἀνακεκλίμεθα, ϗ πάλιν Ὑσμήνη μοι κατὰ μέτωπον ὅλον τοῖς ὀφθαλμοῖς ἀποςάζȣσά μοι τὸν Ἔρωτα.

Ἐγὼ γȣ̃ν ἀτενῶς τὴν κόρην ἰδὼν, ϗ περὶ τὴν τράπεζαν κεκυφὼς, αὐτὴν προσεκύνη-

σα καθυποκλέπτων ἐρωτικῶς τὸ πρόσκυνημα· ἡ δ᾽, ἀνθυπέκλεψεν ὡς εἰκὸς, τὸν τράχηλον παρθενικῶς ὑποκλίνασα. τροφαῖς πολυτελέσιν ἡ τράπεζα συνήθως κατεκεκόσμητο, ϗ Καλλιθένης κιρνᾷ, Σωθένης προπίνει, ϗ Θεμιστεὺς μετ᾽ αὐτὸν, ϗ συνήθως ἡμεῖς· ϗ ὁ Σωθένης φησί· σὺ μὲν ἡμᾶς φιλοφρονόμενος, Θεμιστεῦ, ξενίῳ Διῒ τὴν φιλοφροσύνην ἐχ ἡμῖν ἀφωσίωσας, ϗ σὲ τῆς ὅτω λαμπρᾶς τραπέζης, ϗ τῆς ἄλλης πολυτελᾶς δεξιώσεως Ζεὺς πατὴρ ἀντιδεξιώσαιτο, φιλότιμόν σοι δεῖπνον ἑτοιμασάμενος ἐν ἠλυσίῳ πεδίῳ, ϗ Μακάρων νήσῳ, συνανακεκλιμένῳ τοῖς ἥρωσιν. ἐγὼ δέ σε καταδυσωπῶ σὺν ἡμῖν γενέσθαι πρὸς τὴν ἡμετέραν Αὐλίκωμιν, σὺν αὐτῇ Διαντείᾳ ϗ τῷ καλῷ τότῳ Κήρυκι, τῇ χειρί με παραδεικνύς· Ὑσμήνης γὰρ ταύτης τῆς ἐμῆς φίλης παιδὸς θῦσαι τὸς γάμος βελόμεθα, καιρὸς δ᾽ ἡμῖν τῆς τῶν γάμων τελετῆς ἀφωσίωται τὰ Διάσια, ἃ νῦν θύοντες, ἐπανα-





ναζεύξομεν εἰς τὴν Αὐλίκωμιν, εἰ δοκεῖ σωτῆρι Διΐ· παῖς δ᾽, ᾧ τὰ τῆς ἐμῆς ταύτης Ὑσμήνης λέκτρα προσαρωτίωται, συμπατριώτης ἐξ Αὐλικώμιδος, ὑπερέχει τὸν τῆς δαιμονίας τριπλῶν κρατῆρα κεκερακώς· τὰς μὲν δὴ ψυχικὰς ἀρετὰς, ἀπαραμιλλος· τὰ δὲ περὶ τὸ σῶμα πρὸς τὴν ψυχὴν ἐρίζει ϗ φιλονεικεῖ μὴ δεύτερος φαίνεσθαι· τὰ δὲ ἐκτὸς, τῇ ψυχῇ ϗ τῷ σώματι συνιναχεῖται, ϗ οἷον συγκέκραται· τοιοῦτον ἐγὼ τὸν γάμον τῇ φίλῃ μοι ταύτῃ παιδὶ, ϗ Ζεὺς πρότερον ἀφωσιώσεν· εἰδέ μοι ϗ σὺ συνεκπλεύσαις εἰς Αὐλικώμιδα σὺν Ὑσμηνίᾳ, ϗ τῇ τότε μητρὶ, εὐτυχεστέρος ἡγῶμαι τὸς γάμος· Ὁ δὲ ἐμὸς πατὴρ Θεμιστεὺς, νῦν Διὸς, φησὶ, τράπεζα, ϗ Διασίων καιρὸς, ϗ τῷ καιρῷ ϗ τῇ τραπέζῃ τὰ πρόσφορα θύσομεν· τὰ δ᾽ ἄλλα Διὸς ἐν γόνασι κεῖται· ταῦθ᾽ ὁ Σωθένης, ταῦθ᾽ ὁ πατήρ.

Ἐγὼ δὲ νὴ τὸς Θεὸς, ὅλῳ τῷ νῷ αἴσθησιν συναφῄρημαι· ϗ ἥμην ὡς ἀνδριὰς ἐπὶ

τῆς τραπέζης καθήμενος, ὅλος ἀναίσθητος, τοὺς ὀφθαλμοὺς ἔχων ἀτενῶς ἐπὶ τὸ τῆς κόρης βλέποντας πρόσωπον· ἡ δὲ παρθένος δακρύων πλησθεῖσα τοὺς ὀφθαλμοὺς, ϗ παρειὰν συλλαβοῦσα τῇ δεξιᾷ συνέσπακε τὰς ὀφρῦς, ϗ πικρὸν ὑπεστέναξε, ϗ πρὸς τὴν Πανθίαν φησὶ, μῆτερ, ἀλγῶ τὴν κεφαλήν· ἡ δὲ, πρὸς αὐτήν· γενοῦ περὶ τὸ δωμάτιον. εὐθὺς οὖν ἐξανέστη τῆς τραπέζης, ϗ παρὰ τὸ δωμάτιον γέγονεν.

Ἡ γοῦν μοι μήτηρ πρὸς τὴν Πανθίαν φησί· τίς τὴν καλὴν ταύτην κόρην ἐβάσκηνεν; ἡ δ', ἡ γλῶσσα, φησι, τοῦ πατρὸς, ὅτι γάμων ἐμνήσθη τῆς κόρης, οὓς μέχρι ϗ δεῦρο μὴ μαθεῖν τὴν κόρην ἐφυλαττόμεθα· παρθένος γάρ ἐστι ϗ σεμνή· τὰ δ' ἐφεξῆς τῆς τραπέζης ἀναισθήτως εἶχον· ὡς γὰρ ἔκ τινος ἀστραπηβόλου σκηπτοῦ τῶν τοῦ Σωσθένους ῥημάτων, ὅλην ἀπερρίχθην τὴν κεφαλήν· εἰ μὲν οὖν ἔφαγον, νὴ τὴν φοβερὰν τοῦ Σωσθένους φωνὴν, οὐκ οἶδα, ὁ δὲ καλὸς Σωσθένης

ὁ



ὁ παρ' ἡμῖν κηρύσσει τὸν γάμον τῆς κόρης, ϗ πάλιν φησίν· ἱκανῶς τῆς τραπέζης ἡμῖν, Θεμιστεῦ, ἅλις τοῦ πότου, ϗ τῶν περὶ τὴν τράπεζαν ποικίλων τροφῶν, εἰ βούλει δὲ ϗ περὶ τὸν ὕπνον γενώμεθα· ἡ γὰρ ἤδη νὺξ ϗ πάλιν συγκαλεῖται ἡμᾶς περὶ τὸν βωμὸν ϗ τὰ θύματα.

Οὕτως οὖν κατελύετο τὸ συμπόσιον, κἀγὼ τῇ συνήθει μου κλίνῃ συνήθως ἀνακλιθεὶς, ὅλος εὐθὺς ἡρπαζόμην παρὰ τῶν ὕπνων τοὺς ὀφθαλμοὺς, ϗ ἤμην ὑπνῶν τῷ παραδόξῳ τὴν ψυχὴν καταθορυβηθεὶς τοῦ ἀκούσματος, ϗ ὅλον τῇ θλίψει τὸν νοῦν καταβαπτισθείς.

Πάλιν οὖν ὁ συνήθης τῶν θυμάτων καιρὸς, ϗ πάλιν Θεμιστεύς μοι πατὴρ ϗ Διάντεια, μήτηρ σὺν Σωσθένει ϗ Πανθίᾳ, παρὰ τῷ βωμῷ διανυκτερεύουσι· ϗ πάλιν ἐγὼ κλίνης τῆς ἐμῆς ἀναστὰς, παρὰ τὴν κλίνην ἥκω τῆς κόρης, ἣν ὁ καλὸς Σωσθένης εἰς Αὐλίκωμιν ἐνυμφεύσατο, ϗ πάλιν τὴν κόρην φιλῶ· ἡ δ', ὅλην τὴν στρωμνὴν καταβρέχει τοῖς δάκρυ-



κρυ-

χρυσῆ· ἐγὼ δὲ πάλιν φιλῶ λέγων, Ὑσμίνη τί πάσχεις; ἡ δ᾽, ἡ γλῶσσα τοῦ πατρὸς φησί μ᾽ ἀπόλλυσι· ἐγὼ δὲ πρὸς αὐτὴν, σὺ τὰ περὶ τῶν ἐμῶν γάμων ἐνοπτρίζου, καὶ κόρην ἑτέραν κατεμνηστεύου μοι, καὶ ἀναμνηστίας ἐκρινόμην σοι τῶν πολλῶν τούτων ἐρωτικῶν χαρίτων, ὧν ὑπερχειλές μοι κεκέρακας τὸ ποτήριον, ἐγὼ δ᾽ ἀλλ᾽ ὦ γλυκυτάτη παρθένε, γλυκυτέρα καὶ μέλιτος, θεούς σοι διεμαρτυράμην αὐτοὺς, μὴ καταψεύσασθαί σου τὸν Ἔρωτα, μὴ καταπροέσθαι σου τὴν φιλίαν, μὴ δ᾽ ὅ, τι οὖν τῶν ὄντων ἀγάπης τῆς σῆς ἀνταλλάξασθαι· ἀλλὰ νῦν σοὺς πατὴρ ὁ σεμνὸς τὰ πάντα Σωσθένης, ἐς Αὐλικώμιν ἐπήξατό σοι παστάδα, καὶ ἕδνα σοι πολλὰ προσαφώρισε, καὶ νυμφίον ἡτοίμασε, καί σε νυμφαγωγήσει λαμπρῶς, καὶ φιλοτίμως νυμφοστολήσει· ἐγὼ δ᾽ ὁ σὸς ἐραστὴς, οὐδὲ γὰρ αἰσχύνομαί σου τὸν Ἔρωτα, παρθενικῷ στεφάνῳ τὴν κεφαλὴν ἀναδήσομαι, καὶ παρὰ Περσεφόνῃ καὶ τοῖς ἐν ᾅδου φιλοτίμως καὶ πολυτελῶς



νυμφαγωγηθήσομαι, λαμπρὰν μοι παστάδα πηξομένοις παρθενικήν· σὺ δ᾽ ἀφιλίας ἐρωτικῆς κριθήσῃ, χείλεσιν ἐρωτικοῖς κατηγορουμένη, καὶ στίγμασι τούτοις, ἃ πάντ᾽ ἐξ ἐμῶν, καὶ χειρῶν, καὶ χειλέων, καθ᾽ ὅλου φέρεις τοῦ σώματος· καὶ σὲ μὲν πλοῦτος κατακοσμήσει πολυτελῶς, ἐμὲ δὲ Πλούτων νυμφαγωγήσει περιφανῶς· ἀλλ᾽ ὦ φιλημάτων ἐκείνων, ὧν εἰς κενὸν ἐτρυφήσαμεν! ὦ θλίψεων σαρκῶν, ἃς μάτην κατωδυνήθημεν! ὦ συμπλοκῶν, καὶ περιπλοκῶν, αἷς ἀνωφελῶς ἀνεπλάκημεν! ὦ κακῶς ἰδόντες ὀφθαλμοὶ, καὶ παρὰ τοῦτο θρηνοῦντες ἀτέλεστα, αὕτη μοι πρὸς ἔρωτα, καὶ νῦν ὑπηρετήσει μοι πρὸς φάσγανον, ὃ κατ᾽ ἐμῆς ταύτης ὠθήσω ψυχῆς.

Ταῦτ᾽ εἶπον, καὶ τὴν κόρην περιπλακεὶς κατεφίλησα, ὄντως σοι τοῦτο λέγων λοίσθιον φίλημα, τέλος δέχου δὴ τῶν ἐμῶν προσφθεγμάτων· καὶ σὺ μὲν εἰς Αὐλικώμιδα πατρίδα τὴν σὴν ἐπὶ λαμπρῷ νυμφίῳ παλινο-

ςήσεις νύμφη λαμπρά . . . . ϗ σοὶ μὲν ὑμέναιον βασιλικῶς κατεπᾴσονται· ἐγὼ δὲ εἰς Ἄδου φοιτήσω, ϗ ὅλον χορὸν Ἐριννύων συναγαγὼν ὅλον κατατραγῳδήσωμαι τὸ δυςύχημα· ϗ σοὶ μὲν καλὸς Σωσθένης ἐπὶ θαλάμιον ᾄσει, ἐμοὶ δ᾽ ὁ πατὴρ, ἐπιτύμβιον· ὁ μὲν σὸς πατὴρ ἐπὶ σοὶ γλυκεῖα νύμφη, γλυκὺ μελῳδήσει ϗ τὸ μελῴδημα, ὁ δὲ ἐμὸς ἐλεεινὸς Θεμιςεὺς, ἐπὶ νεκρῷ παιδὶ γοερὸν ἀνακρούσεται· ὁ μὲν, ᾆσμα χορεύσει γαμήλιον, ὁ δ᾽ ἐμὸς ἀθλιώτατος πάντων πατὴρ ἐλεεινὸν μονῳδήσει ϗ πικρὸν ἐξιτήριον.

Ταῦτ᾽ ἔλεγον, ϗ τὴν κόρην ὅλην τοῖς δάκρυσιν ἔβρεχον, ἡ δ᾽, ὤλεσάς μέ φησιν, Ὑσμηνία γλυκύτατε· σύ μοι πατρὶς, ϗ πατὴρ ϗ μήτηρ, ϗ παςὰς, ϗ νυμφίος, ϗ δεσπότης ἐξ Ἔρωτος· ἀλλὰ τὴν δέ μου γλῶσσαν ἐπέχει τὸ δάκρυον· μή σοι ςόμα πατρὸς τὰς περὶ τὸ ςόμα τοῦτο τοὐμὸν ὅλας ἐρωτικῶς καταδήσεται χάριτας, ἃς εἰς κενὸν ἡμεῖς





μεῖς ἐρωτικῶς κατεπαίζομεν· μή σοι τὸ μέλι τρυγήσει τοῦ ςόματος, ὃ μάτην ἡ φίλεργός σου κατεπόνησε μέλιττα· μὴ οὕτω παμφάγον ἔςαι σοι ςόμα πατρὸς ἐμοῦ, ὡς τοσαῦτα καταφαγεῖν ἀφροδίσια, ὅσα μάτην ἡμεῖς κατεπαίζομεν, ἢ μᾶλλον ἐν ἡμῖν κατέπαιζον Ἔρωτες. Ὑσμηνία, σὺ ταύτην τὴν ἐμὴν Ὑσμήνην ἐρωτικῶς κατεκήπευσας· σύ μου ϗ φραγμὸν περιθοῦ τῷ κήπῳ, μὴ χεὶρ ὁ δοιποροῦντος τρυγήσει με· θανεῖν ἐθέλεις; ἀλλὰ συναποτίθημι τῷ λόγῳ ϗ τὴν ψυχήν· συνθανοῦμαί σοι, ὥσπερ ϗ ζῶντι συνζήσομαι· ϗ δὴ περιπλέκομαί σοι ϗ συμπλέκομαι, ϗ τὸ ζώσιμον ὅλον κοινοῦμαί σοι, ὥσπερ ϗ τὸ θανάσιμον ζητῶ συμμερίσασθαι· ϗ λέγουσα συνεπλέκετο, ϗ συμπλεκομένη μοι πηγὰς δακρύων εἶχε τοὺς ὀφθαλμοὺς, ϗ ὅλον με κατεπέκλυζεν.

Ἐγὼ δέ φημι, εἰ βούλει, ϗ τῆς ἐμῆς Εὐρυκώμιδος, ϗ τῆς σῆς Αὐλικώμιδος ἐφ᾽ ἑτέραν μετάρωμεν, ϗ πατρίδας, ϗ τεκόντας. ϗ θη-

σαυρὸς, ϗ τἆλλα κατ' οἴκους λαμπρὰ, φιλίας ἐρωτικῆς, ϗ τοῦ συνοικεῖν ἀλλήλοις ἀνταλλαξώμεθα. Ἔρως δὲ ἡμῖν ἔστω, ϗ πατρὶς, ϗ τοκεῖς, ϗ τὰ κατ' οἴκους πολυτελῆ, ϗ τροφὴ ϗ πόσις, ϗ ἔνδυμα· ἡ δ' ὡς παστάδι κατακεκλιμένην βασιλικὴν, ὑπολαβοῦσα φησὶν, ἔχεις με τὴν σὴν Ὑσμήνην, ϗ μετανόμιζε· σὺν σοὶ θανοῦμαι· ϗ τῆς κλίνης ἀναστᾶσα συνείπετο, ϗ μᾶλλον ἐφείλκετό με προτρέχουσα· ἐγὼ δὲ, ἀλλ' οὐκ ἔτι φημὶ, διακεκόσμηται τὰ τοῦ πράγματος· ἡ δ' ἀλλ' οὐκ ἤθελεν ἀποσπασθῆναί μου τῶν χειρῶν, μόλις οὖν ὅλους θεοὺς αὐτοὺς διαμαρτυράμενος τῶν τῆς Ὑσμήνης ἀπεσπάσθην χειρῶν, ϗ παρὰ τὴν ἐμὴν ἐγενόμην κλίνην, τὸ πρᾶγμα διασκοπῶν. ἐπεὶ δ' οὖν ὕπνου οὐ συνεχωρούμην τοῖς πράγμασιν, ἀναστὰς τῆς κλίνης, ϗ λαμπρῶς διακοσμησάμενος, εἰς ἱερὸν ἀφικόμην ξενίου Διὸς, ὅπου ϗ Θεμιστεύς μοι πατὴρ ϗ μήτηρ Διάντεια, ϗ Σωσθένης, ϗ Πανθία προσανεῖχον τοῖς θύμασι.

Με-



Μετὰ γοῦν πολλὰ τῶν θυμάτων, ἃ ϗ πατὴρ ἐμὸς, ϗ Σωσθένης ἐσπείσατο, Σωσθένης ϗ Πανθία ὅλας εἰς οὐρανὸν τὰς χεῖρας ἀράμενοι, ϗ θερμὰ τῶν ὀφθαλμῶν καταστάξαντες δάκρυα, Ζεῦ πάτερ, ἔλεγον, ἐπιθαλάμιόν σοι τοῦτο τὸ θῦμα ὑπὲρ Ὑσμήνης ἡμετέρας παιδὸς, ἧς ἤδη τοὺς γάμους ἐπιτελέσαι βουλόμεθα! ταῦτ' ἔλεγον, ϗ θύματα τῇ πυρᾷ κατετίθεντο· μέγας δ' ἀετὸς ἐκ νεφῶν ἀνακλάγξας, ϗ μετὰ ῥοίζου καταχυθεὶς, ἥρπασέ τε τὸ θῦμα, ϗ τοὺς περὶ τὸν βωμὸν συνετάραξεν.

Ὁ μὲν οὖν Σωσθένης ὅλος ἦν ἐκπεπληγμένος ἔσω, ἡ δέ γε Πανθία κατὰ γῆν πεσοῦσα, ϗ τὴν πολιὰν ἀμφοτέραις τίλλουσα, ϗ φιλοῦσα τὴν κεφαλὴν, Ζεῦ πάτερ, φεῖσαι πολιᾶς ταύτης ἐμῆς, ἔλεγε, φεῖσαι νεότητος θυγατρὸς, αὕτη μοι παραμύθιον, αὕτη μοι παραψυχὴ, αὕτη μοι τοῦ γένους ἐλπὶς, ταύτῃ γέγηθα, ϗ τῶν τοῦ γήρως κακῶν ἐπιλήθομαι. ἀπ' ἐμοῦ οὖν, ἀπ' ἐμῆς ταύ-

της

της παιδὸς τὸν ἀπαίσιον τοῦτον ὄρνιν πέμψον· Πάτερ Ζεῦ, μή με τοὺς ὀφθαλμοὺς ἐκκόψῃς, μή με τὸν λύχνον σβέσῃς· μή με προῤῥίζον τὸ στάχυν ἐκτίλῃς· μή με τοῦ γένους παντὸς ἀποκείρῃς τὸν βόστρυχον, ὦ δειλαία μήτηρ ἐγὼ, δειλαία τῶν θυμάτων, δειλαία τῶν οἰωνῶν, καλλίπαις ἧκον ἐξ Αὐλικώμιδος πατρίδος ἐμῆς, ϗ νῦν ἀθλιόπαις ἐν Εὐρυκώμιδι· ὡς παρθένον τὴν ἐμὴν ἐνυμφοστόλουν Ὑσμήνην, ϗ νῦν ὡς νεκρὰν ἀποδύρομαι, ϗ ζῶσαν θρηνῶ· Ὑσμήνη μοι φῶς, ἀπεῤῥύης τῶν ὀφθαλμῶν· οὐκ ἐπιθαλάμιον, ἀλλ᾽ ἐπιθανάτιον ᾄδω σοι, οὐκ ἐπιγαμηλίοις, ἀλλ᾽ ἐπιτυμβίοις σπένδομαί σοι χοαῖς, ϗ κατὰ τὴν παροιμίαν, ἄνθρακας εὑρίσκω τοὺς θησαυρούς.

Ταῦτ᾽ ἔλεγεν ἡ Πανθία, ϗ τὸν βωμὸν ἐπλήρου θρήνων ϗ κωκυτῶν, τὴν παρειὰν κυλακίζουσα, διαῤῥήσσουσα τὴν ἐσθῆτα, λίθῳ πλήσσουσα τὸ στέρνον, τὴν κεφαλὴν καταῤῥάσσουσα. τὸ μὲν οὖν δὴ πολὺ πλῆθος

(οὐδὲ



(οὐδὲ γὰρ ἀπὸ δρυὸς, οὐδ᾽ ἀπὸ πέτρας) τοῖς τῆς Πανθίας κατεθρύπτετο ϗ θρήνοις, ϗ στεναγμοῖς, ϗ ἦν ἐξ ἀνδρῶν, ϗ γυναικῶν σύμμικτος ἡ βοή· αἱ μὲν γὰρ δὴ γυναῖκες τῇ Πανθίᾳ συνεθρήνουν ϗ συνεκόπτοντο, οἱ δ᾽ ἄνδρες ἐξεπλήττοντό τε ϗ κατεπλήττοντο· ϗ οἱ μὲν, ἀπαίσιον κατεφιλοσόφουν τὸν οἰωνὸν, οἱ δ᾽, αἰσιώτατον· ἦσαν δὲ παρ᾽ οἷς ϗ τὸ πρᾶγμα τυχηρὸν ἐλογίζετο.

Οὕτω μὲν οὖν τὸ πλῆθος ὡς ϗ τὴν γλῶτταν, ϗ τὴν γνώμην εἶχον σύμμικτον ϗ διάφορον, μήτηρ δέ μοι Διάντεια σὺν πατρὶ Θεμιστεῖ τὴν Πανθίαν περιχυθέντες περὶ τὴν ἡμετέραν μεθεῖλκον οἰκίαν, ϗ ταῦτα μὴ θέλουσαν· ἐγὼ δὲ ϗ Κρατισθένης, παρῆν γὰρ ϗ αὐτὸς, τὸν Σωσθένη μεθείλκομεν, ϗ περὶ τὴν οἰκίαν γεγόναμεν, ϗ πρὸ τῶν πυλῶν τὴν Ὑσμήνην δακρύουσαν, εὕρομεν· προδραμοῦσα γάρ τις παιδίσκη, ταύτῃ τὸ πᾶν ἀνεδίδαξε, ϗ πάλιν θρῆνος ἦρτο ϗ κωκυτὸς· ἡ μὲν γὰρ δὴ μήτηρ ὡς ἐπὶ θυγα-

τρὶ

τρὶ θανάσῃ τὸν θρῆνον ἐξήγειρεν· ἡ δέ γε θυγάτηρ ἐπὶ μητρὶ θρηνούσῃ πικρὸν ἀντωδύρετο· καί μοι πατὴρ Θεμιστεύς, ϗ μήτηρ Διάντεια περὶ τὸ δωμάτιον τὰς γυναῖκας εἰσάγουσι, τὸν κοπετὸν κατευνάζοντες· ἐγὼ δὲ ϗ Κρατισθένης περὶ τοὐμὸν δωμάτιον γεγονότες, τὰ μετὰ τὴν Αὐλίκωμιν ἐκοινούμεθα, ὡς ἐπὶ τὸ δεῖπνον κατὰ μέτωπόν μου τὴν Ὑσμήνην ἡ τάξις ἐκάθισεν, ὡς ἔγωγε τὸ πῶμα λαβών, ϗ μόνον τοῖς χείλεσιν ἐγγίσας, πρὸς τὸν δόντα ἀντιδέδωκα, τὴν Ὑσμήνην εἰπὼν ὀφείλειν μου προπιεῖν, ϗ ὁ Καλλισθένης (οὗτος γὰρ ἐξ ἐπιταγῆς τοῦ πατρὸς ᾠνοχόευσε) πρὸς τὴν Ὑσμήνην ἐκόμισεν· ὡς ὅλαις ἡ κόρη τοῦτο χερσὶν ὑπεδέξατο· ὡς εὐχαριστεῖ μοι τῷ σχήματι· ὡς ἐπὶ δευτέρῳ πώματι Καλλισθένης τὴν κόρην μου προκιρνᾷ· ὡς αὐτὴ μικρὸν ἐκροφήσασα τὸ πᾶν ἀντιδέδωκε, κἀγὼ τὸν διψῶντα μετασχηματισάμενος, τῶν τοῦ Καλλισθένους χειρῶν μεθειλκυσάμην τὸ ποτήριον· ϗ τἄλλα

ὁπό-



ὁπόσα συμπίνοντες ἐρωτικῶς κατεπαίζομεν· τὴν τῶν πατέρων ϗ μητέρων ἡμῶν πρὸς τὸν βωμὸν ἐπὶ θύμασιν ἀναχώρησιν, ϗ τὰ παρὰ τὴν κλίνην τῆς κόρης ἡμέτερα παίγνια, ϗ τὰς συνθήκας, ὅσας ἐρωτικῶς συνεθέμεθα· τὴν ἐπὶ τῷ δευτέρῳ δείπνῳ τοῦ Σωσθένους γλῶσσαν ὡς θύσει τοὺς γάμους τῇ θυγατρί, ὡς τὸν ἐμὸν πατέρα κἀμὲ πρὸς τοὺς γάμους ἐπὶ τὴν Αὐλίκωμιν συγκαλέσοιτο, τὴν ἡμετέραν ἐπὶ τῷ παραδόξῳ τοῦ ῥήματος ἔκπληξιν, ϗ τἄλλα ὁπόσα περὶ τὴν τράπεζαν· τὴν ἐπὶ τοῖς δευτέροις τούτοις θύμασι τοῦ Σωσθένους ϗ τῆς Πανθίας, πρὸς τὸν βωμὸν ἐπαγρύπνησιν, τὴν μόνωσιν τῆς παρθένου, τὰ περὶ τὴν κλίνην ταύτης ἡμέτερα δάκρυα. ϗ τέλος τὰς συνθήκας ἃς συνεθέμεθα, θεοὺς αὐτοὺς διαμαρτυράμενοι.

Καὶ ὁ Κρατισθένης· αἰσιώτατόν σοι τὸν οἰωνὸν προμαντεύομαι, τῷ δ᾽ ἐπ᾽ Αὐλίκωμιν τῆς Ὑσμήνης νυμφίῳ ϗ λίαν ἀπαισιώτατον, εἰ γοῦν ϗ Ζεὺς αὐτὸς τὴν ἁρπαγὴν ὑπαινίτ-

τε

τεται, ϗ οἷον ταύτην κατεπισκήπτεις σοι, τί μέλλεις; τί δ' ἀναδύῃ; ἐγὼ δὲ πρὸς αὐτὸν, ἐν συμφοραῖς, κατὰ τὴν τραγῳδίαν, φίλοι σαφέστατοι, καί μοι διασκόπησον τὰ τοῦ πράγματος· ϗ ὁ Κρατισθένης, ἐγώ σοι καθυπηρετήσω τῷ δράματι, ϗ χαίροις εἰπών μοι, περὶ διασκευὴν ᾤχετο τοῦ πράγματος· κἀγὼ περὶ τὸ δωμάτιον γέγονα, ἔνθα μοι πατὴρ, ϗ μήτηρ σὺν Σωσθένει, ϗ Πανθίᾳ, ϗ τῇ κόρῃ, τὰ περὶ τὸν βωμὸν ϗ τὸ θῦμα ἐλογίζοντο, ϗ τῆς παρθένου πρὸς τὴν μητέρα λεγούσης ἀκήκοα· Ἱκανάσοι, μῆτερ, κατευνάσαι τῆς ψυχῆς τὸ κλυδώνιον, τὰ παρὰ Θεμιστέως ϗ Διαντείας εἰρημένα σοι, μὴ πειθενότητος, ἀλλ' ἀληθείας ἐχόμενα, σὺ δ' ἵνα τί ϗ πάλιν ὅλη γίνῃ τοῦ πράγματος, ϗ ὅλην σαυτὴν καταθρύπτεις τοῖς ὀδυρμοῖς; Ζεὺς γὰρ ἀνανεύει τὸν γάμον, οὐ βούλεται νυμφαγωγηθῆναί με· τοῦτο φῂς τὸν Ἀετὸν ὑπαινίττεσθαι; τῆς τοῦ Διὸς προμηθείας! τῆς τούτου φιλανθρωπίας! σὺ δ' τί βούλει

νυμ-



νυμφευθῆναί με, καί μοι τελεσθῆναι τὸν γάμον ἀπαίσιον; τί, μῆτερ, θρηνεῖς ἐφ' οὕτω καλῷ Διὸς οἰωνῷ;

Καί μοι πατὴρ Θεμιστεὺς τὴν κόρην ἐπῄνεσε λέγων, εὖγέ σοι κόρη τῆς συνέσεως, ϗ τῆς γλώττης ὑπέρευγε· ϗ πρὸς τὸν Σωσθένη φησὶν, εἰ δοκεῖς γενώμεθα ϗ περὶ τὴν τράπεζαν· Διασίων καιρὸς, σεβασθῶμεν τὴν ἑορτὴν, ἵν' ᾖ ϗ Ζεὺς ἡμῖν εὐμενέστερος· μετάσχωμεν τροφῆς, συμμετάσχωμεν ὕπνου· ἤδη ϗ νὺξ, ἐγγὺς ὁ τῶν θυμάτων καιρὸς ἐπὶ τὸν βωμὸν ἡμᾶς συγκαλούμενος· ἡ δὲ Πανθία φησὶν, οὐκέτι περὶ τὸν βωμὸν γενήσομαι, οὐ θῦμα θύσω λαμπρὸν ὑψηπετεῖ ἀετῷ, ἅλις μοι τῶν θυμάτων· ἅλις μοι τῶν θρήνων· κόρος μοι τῆς ἀπευκταίας ταύτης οἰωνοσκοπίης, κἂν ὁ θηριώδης ἐκεῖνος ἀετὸς ϗ ἀπαίσιος οὐκ ἐκορέσθη τοῖς θύμασιν· οὗτος ἀετὸς ἐκεῖνος, ὃς Προμηθέως ὀρύττων πλευρὸν, ὃς ὅλον ἧπαρ κατέφαγε, ϗ τὴν ἐμὴν ὅλην ταύτην γαστέρα παντελῶς κατορώρυχε, ϗ τὰ σπλάγχνα κατεδηδόκει μου.

Καὶ

Καὶ ὁ Σωσθένης, μὴ τὴν γλῶτταν προπετῶς ȣ̓τω προπέμπης ϗ ἀναιδῶς, μή σοι ϗ Ζεὺς χολωθῇ· πειθῶμεν τῷ Θεμιςεῖ· ϗ πρὸς τὸν Σωσθένην ἡ Πανθία φησί, σὺ μαλακίζȣ, τὴν δ' ἐμὴν αὐθάδειαν, ὀργῆς τε θρασύτητα μὴ ἐπίπληττέ μοι· ὅλα γὰρ σπλάγχνα μȣ καταπίμπραμαι.

Μετὰ γȣ̃ν δὴ πολλὰ τἀνμέσῳ, τράπεζα παρ' ἡμῖν αὐτοσχέδιος εἰς τὸ δωμάτιον· τὰ δὲ περὶ τροφάς, ϗ πόσεις ἀφιλότημα, ϗ ϗ λίαν ἀνέορτα· παρὰ δὲ μέσῃ δὴ ταύτῃ τῇ τραπέζῃ, πάλιν ὁ καλὸς ἧκε Κρατισθένης, ϗ σὺν ἡμῖν κατεκλίθη κατὰ γῆν, κατὰ τȣ̀ς λίθȣς, οἷς μάλα τηλαυγέσιν ἐκεκόσμητο τὸ δωμάτιον, ϗ τέλος τὰ περὶ τὴν τράπεζαν ϗ τὸ δεῖπνον ἐλάμβανεν· εἴγε δεῖ τράπεζαν ϗ δεῖπνον ἐκεῖνο καλεῖν.

Καὶ πάλιν ἐμὸς πατὴρ Θεμιςεύς, πρὸς τὴν Πανθίαν φησίν, ὡς μήτηρ μέν σοι, ϗ μήτηρ φιλόπαις ȣ̓χ ἧττον δὲ ϗ καλλίπαις, εἰρήσθω γὰρ τἀληθές, ȣ̓κ ἀρνήσομαι, ὡς δὲ

ϗ



ϗ γυναιξὶ δεινόν, κατὰ τὴν παροιμίαν, αἱ δ' ὠδίνων ἄγοναι, ὅλαι μητέρες συμμαρτυρήσȣσιν, ὅτι δ' ἁπλȣ̃ς ὁ λόγος τῆς ἀληθείας ἔφη, οἴδασι πάντες ϗ σύ· ἐπὶ γȣ̃ν σοι θυγατρὶ νυμφαγωγȣμένῃ πάντα τὰ θύματα τέθυται, ἢ πάντως Διὸς ἀετὸς ἀνηρείψατο· εἰ μὲν ȣ̃ν ἀπαίσιος ὁ ἀετός, ϗ τὸ σημεῖον ȣ̓κ ἀγαθόν, ȣ̓κ ἀκριβὴς οἰωνοσκόπος ἐγώ, εἰδ' ἀπαισιώτατόν σοι τὸ πρᾶγμα δȣκεῖ, ϗ ὄντως ἐςὶν ἀπαισιώτατον, τȣ̃το μᾶλλον ἡμῖν αἰσιώτατον· εἰ μὲν γὰρ μετὰ νυμφῶνα τὸ θῦμα, ϗ Ζεὺς ἀνανεύει τȣ̀ς γάμȣς ϗ τῷ ἀετῷ τὴν ἀνάνευσιν ὑπαινίττεται, ȣ̓κ ἄκαιρόν σοι τὸ δάκρυον· τὸ γάρ τοι Ἐπιμηθεῖ τὸ μεταμέλλειν ἀνωφελῶς; ἀφωσίωται· εἰ δέ σοι πρὸ τȣ̃ γάμȣ τὸ θῦμα, ϗ ζητεῖς τὸ μέλλον μαθεῖν, ϗ Ζεὺς ȣ̓κ ἐπιτρέπει τȣ̀ς γάμȣς, ϗ λίαν εὐμενής σοι τῆς προμυθίας θεὸς ϗ περὶ τὸ θυγάτριον εὐτυχεῖς· τί ȣ̃ν ἐφ' ἑτῷ καλῷ Διὸς οἰωνῷ θρῆνον ἐγείρεις ϗ κωκυτόν; εὐχαριςήριόν τι μᾶλλον θῦμα περι-

φα-

φανὲς ὀφείλουσα σωτῆρι Διΐ, ϗ σῶστρα ταύτης τῆς σῆς θυγατρός; εἰδ' οὖν, ϗ τῷ ῥυσαμένῳ σοι ϗ κλύδωνος ϗ πυρὸς, ἀδικίαν ἐπεγκαλέσεις, ὅτι σοι τὸ ζῆν ἐχαρίσατο.

Μόλις οὖν τοῖς τοῦ πατρὸς λόγοις τούτοις πεισθεῖσα Πανθία, ϗ μικρὸν ἀνακεκλίσθαι συνέθετο, ϗ πάλιν ἐπαγρυπνῆσαι τοῖς θύμασι ϗ οὕτως ἀπ' ἀλλήλων ᾠχόμεθα.

Ὁ γοῦν Κρατισθένης σὺν ἡμῖν γενόμενος παρὰ τὸ δωμάτιον πρός με φησὶν, οὐκ ἔτι σοι καιρὸς ἀναβολῆς· πάντα γάρ σοι Ζεὺς σὺν ἡμῖν εὐδιέθετο, ϗ ναῦς ἡτοίμαστο παρὰ Συρίαν ἀπαίρουσα, καί μοι ξένος πάτριος Σύριος, ὃς ἡμᾶς ξεναγωγήσει, ϗ φιλοτίμως καθυποδέξεται. ϗ πρὸς τὸν Κρατισθένην ἐγώ· εἴπερ οὐ κατέζευσας τὴν φιλίαν, ϗ τὸν σὸν Ὑσμηνίαν φιλεῖς ϗ ἄλλον κρίνεις σαυτὸν, συνεκπλεύσεις ἡμῖν, ὁ δέ μοι φησίν· ἐμοὶ δ' οὔποτε γέγονε κατὰ νοῦν μὴ συνεκπλεῦσαι, μὴ συμπονῆσαί σοι, μὴ συμπαθεῖν, ϗ ὑπερπαθεῖν, χάρις δ' ἔστω μοι τὸ μηκέτι πρὸς ἀναβολὰς χωρεῖν μοι τοῦ πρά-

γμα-



γματος. ἐγὼ δὲ πρὸς αὐτόν· σὺ μὲν εἰ βούλει γενοῦ μοι περὶ τὴν θάλατταν, ϗ τὰ περὶ τὴν ναῦν διακόσμησον· ἐγὼ δ' ἡνίκα θυμάτων καιρὸς, Σωσθένης ϗ Πανθία παρὰ τὰ θύματα σὺν τοκεῦσιν ἐμοῖς, περὶ τὴν κόρην γενόμενος, τὸ πᾶν ἐκκαλύψω τοῦ δράματος· σὸν δ' ἔργον ἔσται διασκοπεῖν τὸν καιρὸν, ϗ ἡμᾶς περὶ τὸν λιμένα ϗ τὴν ναῦν συγκαλέσασθαι.

Ὁ μὲν οὖν Κρατισθένης ἐξῆλθε τοῦ δωματίου, ἐγὼ δ' ὅλος ἐπὶ τὴν κλίνην ἀνακλιθεὶς, ὅλας εἶχον λογισμῶν θαλάσσας ἐπικλυζούσας μου τὴν ψυχὴν, ϗ ὡς ναῦς ἐν σάλῳ κατεκυματούμην, ϗ κλύδωνι· ἠνιώμην, ἔχαιρον, ἐδειλίων, ἐθάῤῥουν, ὅλος ἤμην ἡδονῆς ϗ φόβου μεστός· τὸ γὰρ ἐπιτυχεῖν σφόδρα με κατέσαινε τὴν ψυχὴν, τὸ δ' ἀποτυχεῖν ϗ λίαν κατέσαινεν.

Ἐν μέσοις δὴ τούτοις τοῖς κύμασιν, ἐν ὅλαις θαλάσσαις, ϗ κλύδωνι ὕπνος μου τοῖς ὀφθαλμοῖς περικέχυται, ϗ πλῆθος οὐκ εὖ ἀ-

ρι-

ῥυθμούμενον ὁρῶ παρὰ τὸ δωμάτιον νεανίσκων ϗ παρθένων ἐςεφανωμένων ῥόδοις τὰς κεφαλὰς, τὰς χεῖρας συνδεμένων ἀλλήλοις κατὰ σειρὰν, ϗ μέλος ᾀδόντων οἷον Σειρῆνες ᾄδουσι· ϗ ἦν τὸ μέλος Ἔρωτος ὕμνος, ϗ Ἀφροδίτης ἐγκώμια· τὸ δ᾽ ᾆσμα καθ᾽ ὑμέναιον ᾔδετο. ϗ οἷον ἐπὶ παςάσιν, ᾄδουσιν Ἔρωτες. τὸ μὲν ἦν τὸ ἦθος ἡδὺ τὸ μέλος, καί μοι τὴν ψυχὴν ἐπλήρου ἡδονῆς ϗ χάριτος ἐρωτικῆς, ϗ ἤμην ὅλος Ἔρως, ὡς ἐκβεβακχευμένος ἐξ ἔρωτος.

Ἐν μέσῳ τούτῳ τῷ συμμίκτῳ χορῷ, τῷ λαμπρῷ, τῷ χαρίεντι, ἐν μέσοις ςεφάνοις, ἐν μέσαις ᾠδαῖς, ἐν μέσοις ἐρωτικοῖς μελῳδήμασιν, ὁρῶ ϗ πάλιν ἐκεῖνον τὸν ἐφ᾽ ὑψηλοῦ τοῦ δίφρου καθήμενον Ἔρωτα, βασιλικῶς ἐςαλμένον, ϗ τὴν Ὑσμήνην τῆς χειρὸς μεθελκόμενον, ἐγὼ δ᾽ ὅλος ἐξεθαμβήθην ἰδὼν, ὁ δέ μοί φησιν, Ὑσμηνία ἰδοὺ τὴν Ὑσμήνην ἔχεις, ϗ τὴν χεῖρα ταύτης τῇ δεξιᾷ μου χειρὶ παραθεὶς, ἀπέπτη μου τῶν ὀφθαλμῶν, ϗ τοὺς ὕπνους συμμεθελκόμενος.





# ΒΙΒΛΊΟΝ, Ζ.

Οὕτω μὲν οὖν μοι τὴν Ὑσμήνην Ἔρως παρέθετο· ϗ μεθ᾽ ὕπνου ὅλην ἐδόκουν ἔχειν αὐτὴν, ϗ ὅλον ἑώρων τὸν Ἔρωτα· ἐπεὶ δὲ ϗ θυμάτων καιρὸς ϗ πάλιν Σωσθένης, ϗ Πανθία σὺν τῇ μητρί μου ϗ πατρὶ Θεμιςεῖ, τὴν παρὰ τὸ ἱερὸν ἐςέλλοντο ϗ τὰ θύματα· περὶ τὴν Ὑσμήνην ϗ πάλιν ἐγὼ θύσων ὅλον αὐτὸν, ἢ θῦμα τὴν Ὑσμήνην ὅλην λαβεῖν, ϗ πάλιν φιλῶ συμπλεκόμενος, ϗ πάλιν φιλοῦμαι καταπλεκόμενος, ϗ πρὸς τὴν κόρην φημὶ, Ἔρως τῇ χειρί μου ταύτην σε παρατίθησι, ϗ Ζεὺς τὴν ἁρπαγὴν ὑπαινίττεται· ἡ δέ μοι φησὶ, σὺ δ᾽ οὔτε Διὸς αἰνίγμασι πείθῃ, ϗ τὴν ἐξ Ἔρωτος παρακαταθήκην οὐκ ἐθέλεις τηρεῖν· εἶδες τὸ θῦμα, τὸν ἀετὸν, σὺ δὲ τὸν Δία βούλει κατὰ μέτωπον ςῆναί σοι, ϗ κατὰ ςόμα λαλῆσαί σοι· ϗ πρὸς τὴν παρθένον ἐγὼ, νῦν ἐν ὀνείροις εἶ-

εἶδον τὸν Ἔρωτα τῇ χειρί σε κατέχοντα, ϗ πρὸς τὴν ἐμὴν ταύτην παρατιθέμενον δεξιάν· ἡ δὲ μου τὴν δεξιὰν κατεφίλησεν· ἐγὼ δὲ ϗ τὴν ἑτέραν αὐτῆς ϗ ἦμεν πάλιν καταφιλοῦντες ἐρωτικῶς.

Ἡδέ μοι κόρη φησί· καλὰ μὲν Ὑσμηνία ϗ τὰ φιλήματα, ϗ λίαν καλά, ϗ γέμοντα χάριτος, ἀλλ' ἤδη πέρας ἔχει τὰ θύματα, ϗ πάλιν Ὑσμήνη πρὸς Αὐλικώμιδα· πρὸς δὲ ταύτην τὴν Εὐρύκωμιν ὁ καλὸς Ὑσμηνίας μοι, σὺ ὁ τῶν χαρίτων λειμών, τὸ τῶν ἐρώτων σύμβολον, ὁ τῆς ἐμῆς Ὑσμήνης δεσπότης, ἀλλ' ὦ φῶς ἐμῶν ὀφθαλμῶν, ὦ καρδίας παραψυχή. ϗ ψυχῆς παραμύθιον, μή σοι λήθης πόμα κεράσῃ, μὴ χρόνος, μὴ πραγμάτων μεταβολή, μὴ τοῦτο δὴ τὸ ϗ θανάτου πικρότερον, παρθένος ἐξ Εὐρυκώμιδος· ϗ πάλιν ἐφίλει, ϗ πάλιν ἐδάκρυεν· ἐγὼ δ' ὅλην περιπλακεὶς τὴν κόρην ϗ ὅλην καταφιλήσας ἐρωτικῶς, τὸν Κρατισθένην, εἶπον, οὐκ ἀγνοεῖς τὸν συνεκπλεύσαντά μοι παρὰ πατρίδα τὴν σὴν τὴν Αὐλίκωμιν, οὗτος μοι συμπατριώτης, ἀδελφιδοῦς ἐμός. ἀλλ'

αὐ-



αὐτὸς· ἡδέ μοι φησί, ϗ καθυπηρέτητα τούτῳ, ϗ τῇ χειρὶ ταύτῃ κεκέρακα· οὗτος δ' ἐγὼ πρὸς αὐτήν, ϗ ναῦν ἡτοίμασε, ϗ τὰ περὶ τὴν ἡμετέραν φυγὴν διεκόσμησε, ϗ συνεκπλεύσει τούτοις ἡμῖν ϗ ὅλως καθυπηρετήσει τῷ δράματι· ϗ ἡ κόρη τὸ στόμα μου κατεφίλησε, λέγουσα καταφιλῶ σου τὸ στόμα, ϗ τὴν γλῶτταν, ἀσπάζομαι τὴν καλὴν ταύτην ἀγγελίαν ἀγγείλασαν· ϗ πάλιν πρὸς τὴν παρθένον ἐγώ, ἰδοὺ ϗ Ζεύς, ϗ μέγας Ἔρως αὐτὸς τῇ χειρί μου ταύτῃ σε παρατίθησι· τί γοῦν μὴ τὸν βότρυν τρυγῶ πεπανθέντα, ϗ ὅλον ὑπερπερικάταντα; τί μὴ τὸν στάχυν θερίζω κεκυφότα πρὸς γῆν; καί τι δρᾶν ἐπεχείρουν ἐρωτικώτερον, ϗ ὅλος ἤμην ἐπὶ τῷ ἐγχειρήματι· θλίβω φιλῶν, συμπλεκόμενος, θρασυτέραν ἔχων τὴν χεῖρα ϗ τἄλλα πράττων, ὅσα καθυπηρετοῦσι πρὸς ἔρωτα, τὴν δ' Ὑσμήνην οὐκ ἔπειθον, οὐ πείσεις οὐδ' ἢν πείσῃς με, λέγουσαν· οὐδὲ γὰρ κλέψω τὸν γάμον, ὅν μοι Ζεὺς ἐχαρίσατο.

Ταῦτα ἡμεῖς ἐρωτικῶς ἐμαχόμεθα, ϗ

παι-

παίζοντες ἐσπουδάζομεν· ϗ ὁ Κρατισθένης παρὰ τὴν πύλην γενόμενος, Ὑσμηνία φησὶν ἐγὼ πρὸς τὴν κόρην, ὁ Κρατισθένης φημί· τὴν ἀκοὴν ὅλην εἶχον ἀπηωρημένην τῆς τοῦ Κρατισθένους φωνῆς, ϗ ὀφθαλμοὶ μέν μοι, ϗ χεῖρες πρὸς τὴν παρθένον, ὁ δέ γε νοῦς πρὸς αὐτόν, ϗ σὺν τῇ παρθένῳ τῆς κλίνης ἀνέστημεν ἐξ αἰδοῦς ϗ χαρᾶς. ϗ παρὰ τὴν πύλην γενόμενοι, Χαίρειν τῷ Κρατισθένει φαμέν· ὁ δὲ, οὐχ ἕδρας, φησὶ καιρός· παρὰ τὸν λιμένα γινώμεθα. τῆς νεὼς ἐπιβῶμεν· ἀποβῶμεν τῆς Αὐλικώμιδος· ταῦτ' εἶπε, ϗ κατήρχετο τῆς ὁδοῦ· ϗ ἡμεῖς συνειπόμεθα.

Καὶ δὴ παρὰ τὸν λιμένα γενόμενοι, ϗ τὰς χεῖρας ὅλας πρὸς αὐτὸν ἀνατεινάμενοι τὸν οὐρανόν, Ζεῦ πάτερ, ἐλέγομεν, σοὶ ϗ τοῖς σοῖς αἰνίγμασι καθυπείκοντες ταύτην στελλόμεθα· σὸς παῖς Ἔρως ἡμᾶς πολιορκεῖ, ϗ πατρίδος ἡμῶν ἐφέλκεται λάφυρον· σὺ δ' ὦ Πόσειδον ἐκ μεταφρένου πνεῦσον, μὴ κατὰ μέτωπον, μὴ πρὸς πνεῦμα πανεύδιον ἀντιπνεύσοις Διός·

μὴ



μὴ πρὸς Ἔρωτος ζέφυρον, οἱ ἡμεῖς εὐχερῶς παρὰ τὸν λιμένα γεγόναμεν· ταῦτ' εἰπόντες, ϗ τῆς νεὼς ἐπιβάντες, ἐξ οὐρίας ἐπλέομεν· ὁ γὰρ δὴ τὰ πρῶτα γλυκὺς Ποσειδῶν, ὅλος ἀπὸ πρύμνης ἐξέπνευσε, ϗ τὸ ἱστίον κατακυρτώσας, ϗ πτερώσας τὴν ναῦν μεθ' ἡδονῆς ἡμᾶς μετεκόμιζεν.

Ἐγὼ δὲ εἶχον κλίνην τὴν ναῦν, ϗ στρωμνὴν τῆς παρθένου τὰ γόνατα, ϗ ὅλος ἀνακλιθεὶς οὕτως ἡδέως ὕπνωττον, ὡς οὐδέποτε νὴ τὸν Ἔρωτα· ἡ δέ μοι παρθένος κατεπιθεῖσά μοι τὸ στόμα, ϗ τοῖς ὀφθαλμοῖς, ϗ τοῖς χείλεσιν ἀψοφητὶ κατεφίλει με, ϗ ἦν ἡ ναῦς παρ' ἡμῖν ϗ παστὰς, ϗ κλίνη, ϗ στρωμνὴ, ϗ δωμάτιον· οὕτως Ἔρως εἰς ψυχὴν ἐμπεσὼν, ϗ ὅλην καταδουλώσας αὐτὴν, τῶν μὲν ἄλλων ἁπάντων πείθει καταφρονεῖν, ὅλην δὲ πρὸς ἑαυτὴν μεθαρμόζεται.

Οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός· ἐπεὶ δ' ὑπὲρ γῆν ὁ ἥλιος γέγονε, ϗ νὺξ οὐδαμοῦ, πνεῖ ϗ Ποσειδῶν κατὰ μέτωπον, ϗ ὅλος

ἐκ

ἐκ πρώρας ἡμῖν καταντιπνεῖ, ϗ ὅλην τὴν ναῦν φιλονεικεῖ καταδῦσαι τοῖς κύμασι, ϗ ὅλην εἰς βυθὸν ἀγαγεῖν σὺν αὐτοῖς πλωτῆρσι, σὺν αὐτῷ φόρτῳ, σὺν αὐτοῖς σίμβλοις Ἔρωτος, ἃ μεστὰ μέλιτος ἐρωτικοῦ τὴν καλὴν εἶχον Ὑσμήνην, ϗ τὸν Ὑσμηνίαν ἐμὲ, κἀν Ποσειδῶν ἀντὶ μέλιτος ἀψινθίου πληροῦν ἀπεμάχετο· ἀλλ' ὢ κλείδωνες ἐκείνου ϗ ναυαγίου διπλοῦ, ἡ μὲν ναῦς ταῖς τῶν πνευμάτων ἀντιπνοίαις κατεῤῥιπίζετο, ϗ τοῖς κύμασιν ἐπεκλύζετο, ϗ ἡμεῖς πάντες, ϗ πρὸ τοῦ βυθοῦ τὴν ψυχὴν ἀπεφυσῶμεν τοῖς κύμασι, ϗ ἤδη ταύτην ἀπετιθέμεθα· ἡ δέ μοι παρθένος ὅλην ἑαυτὴν ἀπαιωρήσασα τῷ τραχήλῳ μου· ὀδυνηρότερον ἄλλο ϗ βιαιότερον ἐξήγειρέ μοι κλυδώνιον, ὅλας θαλάσσας δακρύων ἐκκενοῦσα τῶν ὀφθαλμῶν, ϗ ὅλον με κατακλυδωνίζουσα, ϗ τῇ γλώττῃ ϗ τῇ περιπλοκῇ, ϗ τοῖς δάκρυσιν· Ὑσμηνία λέγουσα, σῶσον Ὑσμήνην τὴν σὴν, πνεῦμα θρασὺ τῆς σῆς χειρὸς ἀφαρπάζει με, ἀπηνὲς

πνευ-



πνεῦμα σὴν μὲν λαμπάδα ταύτην ἐρωτικὴν ἀποσβέννυσι μέγα κῦμα θαλάσσης· πῦρ ἐρωτικὸν ἐπικλύσαι φιλονεικεῖ, οὐ πατὴρ, οὐ μήτηρ, οὐ πατρὶς, οὐ τὰ κατ' οἶκον λαμπρὰ σῆς με φιλίας ἐστέρησε· ϗ νῦν πνεῦμα ϗ κῦμα τῆς σῆς χειρὸς ἀφαρπάζει με. Ἔρως ἡμᾶς ἀλλήλοις ἐδουλογράφησε, ϗ Ζεὺς ἐν θύμασι τὴν ἁρπαγὴν ὑπῃνίξατο, ὁ δέ γε θρασὺς ϗ ἄγριος Ποσειδῶν, ὄρη κυμάτων ἐγείρει, ϗ πρὸς αἴνιγμα Διὸς ἀντιπνεῖ, ϗ ὅλον δουλογράφιον ἐρωτικὸν ἐκπλύνειν τοῖς κύμασιν ἀπειλεῖ· ἔφυγον τὸν πατέρα, τὸ δὲ ναυάγιον οὐκ ἐξέφυγον· ἔλαθον τὴν μητέρα, σὲ δὲ Ποσειδῶν οὐ διέλαθον· ἀλλ' ὦ μῆτερ, νῦν προσφορώτατόν σοι τὸ δάκρυον, παρθένος τῶν σῶν ἀπεσυλήθην χειρῶν, ϗ παρθένος εἰς ᾅδου μετακομίζομαι· τοῦτό σοι ϗ ὁ ἀετὸς ὑπῃνίττετο, ναῦς μοι παστὰς, ϗ κῦμα τάφος, ϗ πνεύματος ἦχος ὑμέναιος, ϗ ἡ νύμφη παρθένος ἐγώ! ἀλλ' ὢ καινῆς ταύτης παστάδος! ὢ γάμου πικροῦ! ὢ φυγῆς ἀθλίας ἡμῶν·

μῶν! καπνὸν φεύγοντες, εἰς πῦρ ἐμπεπτώκαμεν· ϗ πυρὶ τυραννούμενοι, θαλάσσαις κατακλυζόμεθα, ὢ τύχης ἀπηνὲς πνεούσης ἡμῖν ϗ ἄγγελον, ϗ θανατούσης ἡμᾶς ϗ πυρί, ϗ τοῖς ὕδασι!

Ταῦτ᾽ ἔλεγεν ἡ κόρη, ϗ τοὺς μὲν ὀφθαλμοὺς πρὸς τὰ τῆς θαλάττης εἶχεν ἐρίζοντα κύματα, τὴν δὲ γλῶτταν πρὸς τὸν βιαιότερον ἦχον τοῦ πνεύματος, ϗ πρὸ κλυδωνίου ϗ βυθοῦ θαλάσσης, ὅλην μου κατεκλυδώνιζε τὴν ψυχήν· ἐγὼ δὲ πρὸς αὐτήν, Ὑσμήνη μοι παρθένε, ταύτην γάρ σοι τὴν κλῆσιν ἐχαρίσατο τὸ δαιμόνιον, ϗ εἰς κενὸν ἡμῖν ϗ φυγή, ϗ τἄλλα ὁπόσα μάτην ἐμελετήσαμεν, ἐμὲ δὲ Ἔρως κατέπαιζε, ϗ τοὺς ὀνείρους, οὓς μοι κατέπλαττεν, ὄντως ὀνείρους ὁρῶ ϗ ὕπνους σαφεῖς· ὅλους γὰρ κρατῆρας πυρός, οὓς εἰς αὐτήν μοι μέσην καρδίαν ἐξέκαυσε, κῦμα θαλάσσης κατασβέσαι φιλονεικεῖ· ἀλλὰ κἂν ὅλας θαλάσσας ἐρεύξωμαι, οὐ κατασβέσω τὴν φλόγα, ἣν περὶ τὴν ἐμὴν ταύτην ψυχὴν

Ἔρως



Ἔρως ἐξ ὅλης Ὑσμήνης ταύτης ἀνέφλεξε· ϗ συμπλακήσομαί σοι παρθένε, ϗ τοῖς κύμασι συστεφανωθήσομαι, ὑγρὰν σοι παστάδα πηξάμενος· ἴσως ϗ Ποσειδῶν ἐλεήσει τὴν συμπλοκήν· ὄντως ναῦς αὕτη νεκροπομπὸς εἰς Ἅδου μετάγουσα, ὄντως παστὰς Ἀφροδίτης, ϗ Περσεφόνης νυμφών, ὄντως μυθευομένη Σειρήν.

Ἡ δέ μοι κόρη φησί· παρὰ μητρὸς κατεπεγείρει μοι τὸ κλυδώνιον, χεῖρες μητρὸς εἰς οὐρανὸν αἰρόμεναι, πρὸς βυθὸν ὠθοῦσιν ἡμᾶς ϗ ὅλους καταποντίζουσιν· ὦ γλῶσσα μητρὸς ἡμᾶς κατακλύζουσα! ὦ χεῖρες ἐκείνης ὅλας θαλάσσας ταύτας ταράττουσαι! ὦ ζέσις ψυχῆς ἐκείνης τὰς ἡμετέρας ταύτας παντελῶς καταψύχουσα! ἤδη γὰρ Ἀΐδαο, κατὰ τὴν ποίησιν, γευόμεθα κρυεροῦ· ἀλλ᾽ ὦ μῆτερ! ἐπίσχες τὴν γλῶτταν, ἵνα ϗ Ποσειδῶν τὸ κλυδώνιον· σύσχες τὰς χεῖρας, ἵνα τῶν κυμάτων ἀπολυθῶμεν ἡμεῖς· φεῖσαι τῶν ἡμετέρων ψυχῶν, στῆσον τὸ δάκρυον,



ἵνα

ινα ἐξάξῃς ἡμᾶς ἀπὸ ζάλης, ἀπὸ κυμάτων, ἀπὸ σάλου ϗ κλύδωνος· ϗ πρός με φησὶν ἰδού μοι τὰ τῶν συνθηκῶν πέρας δέχεται, σὺν σοὶ θανοῦμαι, τοῦτό μοι παραμύθιον, οὕτω μοι ϗ τὸ ζῆν ποθητὸν, ϗ τὸ θανεῖν ἀνέραστον.

Οὕτω μὲν οὖν ἡμεῖς ϗ πρὸ τοῦ θανάτου συναπεθνήσκομεν, ϗ τὰς ψυχὰς πρὸς Ἅδην μετεβιβάζομεν, ϗ παρθένους ἐφυσῶμεν αὐτὰς, ἐλευθέρως ἐξ ἀρετῆς, ϗ δούλας ἐξ Ἔρωτος, ϗ ὀρχεῖα μεστὰ τῶν ἐξ Ἔρωτος· ὁ δέ γε κυβερνήτης φησίν· ἄνδρες συμπλωτῆρες, ἄνδρες συγκλυδωνιζόμενοι ϗ συναποθνήσκοντες, ϗ τὸ πνεῦμα θρασὺ, ϗ τὸ κῦμα πυκνὸν, ϗ μέχρι νεφῶν ἀνυψώμενον, τὸ ἱστίον διέῤῥηκται, τὸ σκάφος ὑδάτων θαλάσσης μεστὸν, ἐμοὶ δ' οὐκ ἔτι σθένος ἀντέχειν πρὸς τοσοῦτον ὄγκον θαλάσσης, ϗ βιαιότατα πνεύματα, ϗ πνευμάτων ἀντίπνοιαν· ἅλις μοι τῶν ναυμαχιῶν, ὅλος καθ' ἡμῶν Ποσειδῶν· τί μὴ κατὰ τὸν νηΐτην νόμον χοὰς ἱκετηρίους





σπενδόμεθα, ϗ κλῆρος ὁ νόμος, ϗ τὸ θῦμα πληρώμεθα; ταῦθ' ὁ κυβερνήτης, ϗ λέγων ἐδάκρυεν· ἡμεῖς δ' ἐπὶ τὸν κλῆρον κακῷ τὸ κακὸν θεραπεύοντες, ϗ κλῆρος ἐπὶ τὴν Ὑσμίνην θανάτου, ϗ καινὸν πῦρ, ϗ ἱερεὺς ϗ βωμὸς αὐτοσχέδιος· ἡ θάλαττα πῦρ, ϗ τὸ κῦμα βωμὸς, ϗ ἱερεὺς ὁ καλὸς κυβερνήτης, ὁ τὸν νηΐτην νόμον τιμῶν· θῦμα δὲ (ἀλλὰ μή μοι καρδία ῥαγῇς) Ὑσμίνη παρθένος, ἣν ὅλην συμπλακεὶς ϗ περιπλακεὶς ὁ πολύτλας ἐγὼ πρὸς τὸν τοῦ σκάφους κατέδυν πυθμένα.

Ὁ δέ γε Κρατισθένης κατεδυσώπει τὸ ναυτικὸν, φείσασθε, λέγων, κάλλους παρθενικοῦ ϗ νεότητος. ἀλλ' ἡ κατὰ τὴν τραγῳδίαν, ϗ πυρὸς κρείττων ἀναρχία ναυτικὴ μικροῦ δεῖν ϗ τὸν Κρατισθένη παρεδίδου τοῖς κύμασι, ϗ τὴν Ὑσμίνην μὲν ἀποσπῶμεν τῶν χειρῶν, ὁ δέ γε κυβερνήτης ἐν ἀλλοτρίαις φιλοσοφῶν συμφοραῖς ἀπεφοίβαζε, ϗ Χρυσηῒς ἀποσπᾶται χειρῶν Ἀγαμέμνονος βασιλέως, ἀλλ'

ἢ μῆνις Ἀπόλλωνος ἐμαλάσσετο, ἢ λοιμὸς ςρατὸς ἀπηλλάσσετο· τοίνυν ἢ ταύτην ἡμεῖς τῷ ἡμετέρῳ Θεῷ καταθύσωμεν, ἢ ὅλην τοῖς κύμασι καταδύσωμεν, ἢ ψυχὰς ἡμετέρας ἀπὸ κλύδωνος σώσωμεν.

Ταῦτα ὁ μεγαλίςωρ κυβερνήτης ἐφ' ὑψηλῦ καθήμενος ἐῤῥητόρευεν, ἀλλ' ὐκ ἀπεσπᾶτόμε τῶν χειρῶν ἡ παρθένος, ἢ τὰν, ἢ ἐπὶ τὰν, ἐν ἀσπίδι γνωματευομένε με κατὰ τὴν Λάκαιναν· ἢ ἦν ὅλος Ἄρης ἡ ναῦς, ἢ κλύδων πολυεδής· ὁ μὲν δὴ τῆς θαλάσσης σάλος ἐφιλονίκει τὴν ναῦν εἰς βυθὸν ἢ πυθμένα θαλάσσης καταγαγεῖν· τὸ δέ γε ναυτικὸν ἐκ τῦ πυθμένυς τῦ σκάφυς ἢ χειρῶν τύτων ἐμῶν τὴν κόρην μεθείλκετο, αἱ δέ μοι χεῖρες κατὰ τὴν Αὐραδῦτε τῇ κόρῃ συνείποντο· ἢ ὅλος ἐγὼ συμμεθελκόμην τοῖς ἕλκυσι, ἢ κατεδυσώπυν συμπαραδῦναί με τῷ βυθῷ, ἢ συνδῦσαι τοῖς κύμασιν· οἱ δ', ἐλεῦντες ἐπείθοντο, ἢ μᾶλλον ἠλέυν μὴ πείθοντες· ἀλλ' ὁ τὰ πάντα σοφὸς κυβερνήτης





ἢ πάλιν κατεφιλοσόφει, ἢ πάλιν κατεῤῥητόρευε, Ποσειδῶν, λέγων, τὴν κόρην ζητεῖ, ἐπὶ ταύτην ὁ κλύδων, αὕτη θῦμα ἢ λύτρον τῶν ἡμετέρων ψυχῶν· ἀποσπασθήτω τῶν τῦ τε χειρῶν· διαῤῥαγείτω τῶν ὠλενῶν, παραδοθήτω τῷ βυθῷ ἢ τοῖς κύμασι.

Τοίνυν ἀποσπᾶταί με τῶν χειρῶν ἡ παρθένος, ἀποδύεται τὸν χιτῶνα, ἢ τοῖς τῦ κυβερνήτε χερσὶ γυμνὴ παρατίθεται, ὁ δὲ τὰ πάντα σοφὸς ἢ κυβερνήτης, ἢ ἱερεύς, ἢ θύτης καινός, τὴν κόρην λαβών, ἢ ὅλες τὰς ὀφθαλμὲς τοῖς κύμασι ἐμβαλών, ἢ τῦτό σοι θῦμα, δέσποτα Πόσειδον, ἢ λύτρον, εἰπὼν (ἀλλὰ μή μοι τῶν ὀδόντων ἕρκος ἐκφύγῃς ψυχή) τῆς νεὼς τὴν κόρην ἐξεσφενδόνησε, ἢ ὅλην ἀφῆκε τοῖς κύμασιν· ἐγὼ δ' ὅλην τὴν φωνήν, ἢ αὐτὴν τὴν ψυχὴν συναφῆκα τῇ κόρῃ, ἢ ὅλην τὴν ναῦν ἐφιλονείκων κατακλύσαι τοῖς δάκρυσιν, Ὑσμίνη, λέγων, Ὑσμίνη! ἡ δ' ὅλον ὥσπερ καταπιῦσα τὸν κλύδωνα, ἢ ὅλας ἐξερευξαμένη θαλάσσας, ἢ ὥσπερ τις

ἅμπωτις ὅλους ἀνέμους ἀναῤῥοφήσασα, νηνεμίαν τῇ θαλάσσῃ παρέσχε, καὶ γαλήνην ἐκ σάλου καὶ κλύδωνος, ἐμὴν δὲ ψυχὴν ὅλην κατεκύκα, καὶ ὅλην ἐτάραττε, καὶ τὸ μὲν δὴ ναυτικὸν σὺν αὐτῷ κυβερνήτῃ γλυκάζον ἔαρ ἐδρέποντο, καὶ ἡδονῆς ποτήριον ἔπινον, ἐξ ὅτω πικροτάτου χειμῶνος, σάλου, καὶ κλύδωνος· ἐγὼ δὲ κόντου πικρίας, καὶ ἀψινθίου θαλάσσας ὅλας ἐκπεπωκὼς, καὶ ὅλας τοῦ σώματος ἐκκενῶν καὶ αὐτῶν ὀφθαλμῶν, ὅλην ἤμην κατακλυδωνίζων τὴν ναῦν, καὶ ἄλλον σάλον ἐγείρων, καὶ δεύτερον κλύδωνα· ὃ δὴ μὴ φέρων ὁ κυβερνήτης, ἀλλ' οἰωνὸν οὐκ ἀγαθὸν τὸν θρῆνον οἰόμενος, περὶ τὴν χέρσον ἄγει τὴν ναῦν καί με τῆς νεὼς ἐξεφόρτωσεν.

Ἐγὼ δὲ τῇ ψάμμῳ καὶ τῇ θαλάσσῃ παρακαθήμενος, ὅλην ἐξετραγῴδουν τὴν συμφορὰν χοὰς ἐπιτυμβίους τῇ κόρῃ κατασπενδόμενος, Ὑσμήνη! φῶς ἀποῤῥυέν μου τῶν ὀφθαλμῶν, ὄρνις ἀποπτᾶσά μου τῶν χειρῶν! ὢ ναυαγίου πικροῦ καὶ κλύδωνος ἐλεεινοῦ! ὢ





γαλήνης μοι πικροτέρας καὶ κλύδωνος! σὺ μὲν ἀπήχθης τῷ σάλῳ καὶ τῷ ῥοθίῳ τοῦ κύματος· ἐμοῦ δὲ κατεβάπτισας τὴν ψυχὴν ὅλαις θαλάσσαις κωκυτῶν περικλύζουσα. καὶ σὺ μὲν ψυχὴν παρθένον ἐτήρησας, ὅλη στεφανωθεῖσα τοῖς ὕδασιν, ἐμοῦ δὲ τὴν ψυχὴν καὶ κεφαλὴν ἐλεεινῶς ἐστεφάνωσαν ὀδύναι, γόος καὶ δάκρυα. θάλαμός σοι καὶ τάφος ἡ θάλασσα, καὶ θαλαμηπόλος ἐγώ· ἀλλ' οὐκ ἐπιθαλάμιον ᾄσω σοι, οὐκ ἐπικροτήσω γαμήλιον, ἀλλ' ὡς ἐν κενηρίῳ τῇ ψάμμῳ πικρὰς ἐπιθανατίους πλέξω σοι τὰς ᾠδὰς, καὶ ὅλον χορὸν Νηρηΐδων συγκαλεσάμενος, ὅλον κατατραγῳδήσω μου τὸ δυστύχημα· ὢ κῦμα θαλάσσης ὅλην μου καταπικραῖνον τὴν αἴσθησιν! ὢ κλύδων ὅλον νυμφῶνα καὶ νύμφην αὐτὴν κατακλύσας τοῖς ὕδασιν! ὢ δυστυχημάτων ἐμῶν! ὢ τύχης ὅλης ἐπιπνευσάσης ἡμῖν! ὢ φαρέτρας ἐκείνης, ἣν μοι κατὰ καρδίαν Ἔρως ἐκένωσε! φεῦ Ἀφροδισίου πυρὸς, οὗ μοι κρατῆρας ὅλους Ἔρως ἀνῆψε κατὰ ψυχῆς! ἀλλ' ὦ βασιλεῦ

'Ερως πάντων θεῶν βιαιότερε! ὦ ψυχὰς κατατυραννῶν! ὦ βέλος πέμπων ϗ τοῖς ὀφθαλμοῖς συμμεθελκόμενος τὰς ψυχάς! ὦ σπλάγχνα φλέγων, ϗ ὅλας καρδίας καταπιμπρῶν! ὦ βασιλεῦ ὀνείρων, εἰ δ' οὐχὶ πάντων, ἀλλὰ μόνων ψευδῶν! οὗτος θρασὺς ἐλέγχει σε Ποσειδῶν, ὁπλίτην εἶδόν σε, ϗ τοῖς βέλεσι τέτρωμαι, πλὴν ϗ ὅλην τὴν ψυχὴν καταπέφλεγμαι· πτερωτὸν, ϗ τὸ πτερὸν οὐκ ἀπέφυγον· ἀλλ' ἤδη σοι καιρὸς ϗ τῇ γυμνώσει τοῦ σώματος χρήσασθαι καθ' ὅλης 'Αμφιτρίτης, ϗ Ποσειδῶνος αὐτοῦ, οὗτος τὴν παρακαταθήκην ἥν μοι παρέθου, βασιλεῦ, σεσύληκε· τὴν σὴν 'Υσμήνην, ἥν μοι παρέθου ταύτῃ τῇ δεξιᾷ, οὗτός μοι τὸν θησαυρόν.

Σὺ δ' ἀλλ' ἀπόθου τὸ πῦρ, ϗ τὰ τόξα, ϗ τὸ πτερὸν, εἰ δέ μοι βούλει περίθου ϗ κατάδυθι πρὸς βυθὸν, καί μοι τὴν 'Υσμήνην ἀνάγαγε· τὴν 'Υσμήνην, ἧς μόνον ἐπιμνησθεὶς ὅλα πυρπολοῦμαι τὰ σπλάγχνα, ϗ ὅλην ψυχὴν κατα-





τακαίομαι· ἀλλ' ὢ τῶν ὡς ἐν ὀνείροις ἐκείνων τερπνῶν, τῶν φιλημάτων, τῶν συμπλοκῶν, τῶν περιπλοκῶν, ϗ τῶν ἄλλων ἐρωτικῶν! βαβαὶ τῶν ὀνείρων, οἷς ἠνδραπόδισμαι· ὄνειροι πάντως ϗ ὕπνος, ϗ ὄντως κατάγελως· ὦ Ζεῦ θεῶν ἀληθεύσατε, ὄντως σὸς οἰωνὸς ἐκεῖνος ἀπαισιώτατος, ὅλον μοι τὸ μέλλον τοῦτο καθαρῶς αἰνιττόμενος! ἰδοὺ γάρ μοι 'Υσμήνη παρθένος ἐλεεινῶν μοι τούτων χειρῶν βιαίως ἀπέσπασαι· ἀλλ' ὦ κόρη τῶν συνθηκῶν σοι κατέψευσμαι, σὺν σοὶ τεθνάναι θεοὺς αὐτοὺς διεμαρτυράμην σοι, καί σοι τοῦτο τὸ θανάσιμον συμμερίσασθαι· νῦν δὲ σὲ μὲν σκότος καλύπτει, ϗ κῦμα πρότερον ἐλεεινῶς κατεπέκλυσεν, ἐγὼ δὲ φῶς ὁρῶ, ϗ τοῖς κύμασι παρακάθημαι. σὺ μὲν πρὸς "Αδην, ἐγὼ δὲ πρὸς γῆν. μέμυκέ σου τὸ στόμα τὸ σίμβλον τοῦ μέλιτος· τὸ δ' ἐμὸν τοῦτο στόμα πλατυνθὲν ἐξ ὀδύνης κατατραγῳδεῖ σοι τὸ ἐξιτήριον, ϗ ὡς ἐκ κεντρούσης μελίσσης πληγὴν φλεγμαίνει τοῖς πάθεσι· ϗ σὺ μὲν ἴσως ἀμνη-

σίας ἐγκαλέσεις ἡμῖν· ἡμεῖς δέ σου καὶ τὴν μνήμην ὥσπερ συμψυχώσαντες ἑαυτοῖς, σὺν αὐτῇ ψυχῇ καὶ ταύτην φυσήσομεν, ἢ μᾶλλον καὶ μέχρις Ἅδου συγκαταγάγωμεν, καὶ μέχρι τοῦ τῆς λήθης κρατῆρος αὐτοῦ θρηνοῦντες πικρὸν, ἐλεινὸν, ἀναπόνιπτον.

Ταῦτ' ἔλεγον, καί μου τῶν ὀφθαλμῶν ἀπέῤῥει τὸ δάκρυον, καὶ κατὰ θάλασσαν ἐξεχεῖτο, καὶ πυκνῶς κατεκυματοῦτο, καὶ ὅλον με κατεπέκλυζεν· ἐν μέσοις δὲ τούτοις ὕπνος λαθὼν ἐμπίπτει μου τοῖς ὀφθαλμοῖς, καί με πρὸς ἑαυτὸν ὅλον ἐφέλκεται· καὶ πάλιν Ἔρως ἐπίσταται διὰ νυκτὸς ὑπνωμένῳ μοι, καὶ ἦν Ἔρως ὄντως ἐκεῖνος ὁ γεγραμμένος ἐν Ἀλικαμίδι, καί μοί φησιν, Ὑσμηνία χαίροις· ἐγὼ δὲ, ἀλλ' οὐ χαρτὰ πάσχω· τὴν γάρ μου παρακαταθήκην, ἣν ταῖς χερσὶ ταύταις παρέθου, τὴν σὴν Ὑσμήνην, καὶ παρθένον ἐμὴν, οὗτος θρασὺς Ποσειδῶν ἐλεεινῶν τούτων ἐμῶν ἀφαρπάζει χειρῶν ἀγρίως, ὅλην κυκήσας θάλασσαν, ὅλον ἀνεγείρας κλυδώνιον.

Ἀλλ'



Ἀλλ' ὦ Βασιλεῦ Ἔρως, ὅλον σοι γένος Ἀμφιτρίτης εἶδος δουλογραφούμενον, καί σου φρίττω τὴν γύμνωσιν· ὦ Βασιλεῦ, ἐκ βυθοῦ θαλάσσης τὴν Ὑσμήνην ἀνάγαγε, παρθένον οὕτω καλὴν, οὕτως ὡραίαν, οὕτω πνέουσαν Ἔρωτος, καί σοι δουλογραφουμένην, καί με δουλογραφοῦσαν τὸν ἐραστὴν, σοῖς τετρωμένην βέλεσι· Βασιλεῦ, πατρίδων ἡμῶν ἀπανάσται γεγόναμεν σῷ πυρποληθέντες τὰ σπλάχνα πυρί· Βασιλεῦ, νύκτας ὅλας ἀΰπνους ἰαύσαμεν σῇ δυνάμει θαῤῥήσαντες· Βασιλεῦ, θαλάσσης ἐπέβημεν, πελάγους κατετολμήσαμεν· ἀλλ' ὦ τῆς σῆς δυναστείας εἴτ' οὖν ἐμῆς δυστυχίας! ὅλον Ποσειδῶν ἀγείρει κλυδώνιον ὅλον θυμὸν κατὰ θαλάσσης κενοῖ, ὅλην τὴν ναῦν φιλονεικεῖ καταβαπτίσαι τοῖς κύμασι, καὶ τὴν Ὑσμήνην, ἧς φεῖσαι Ἔρως, ὅλη θρασείᾳ χειρὶ, βαβαὶ, τούτων ἐμῶν ἀθλίων ἀφαρπάζει χειρῶν.

Ἀλλ' ὦ πάντων Ἔρως κρατῶν· ὁ δ' ἐπτερύξατο τοῖν ποδοῖν, καὶ κατὰ μέσα πε-

 λά-

λάγη γενόμενος, ἐμπίπτει τοῖς κύμασι, ϗ χωρεῖ πρὸς βυθὸν, ϗ μετ' οὐ πολύ μοι πάλιν ἐφίσταται τὴν Ὑσμίνην ἀνέχων πρὸ τῶν χειρῶν, ϗ ὡς ἐκ θαλάσσης ὑγρὰν, ϗ λελουμένην ταῖς χάλισι, ϗ ταῖς ἐμαῖς ταύταις χερσὶ παρατίθεται· ἐγὼ δ' ὡς τὴν Ὑσμίνην λαβὼν ὑφ' ἡδονῆς ἐξανέστην τῶν ὕπνων, τὰ δ' ἦσαν πάντα ϗ πάλιν ὄνειροι δουλεύοντες Ἔρωτι.







# ΒΙΒΛΙΟΝ, Η'.

Οὕτω μὲν οὖν μεθ' ἡδονῆς ϗ χαρᾶς ἀναστὰς τῶν ὕπνων, τοῖς ὀφθαλμοῖς ἐζήτουν τὴν Ὑσμίνην ἰδεῖν· ἡ δ' ἦν οὐδαμοῦ. πλῆθος δ' ὁρῶ Αἰθιόπων παρὰ τῇ ψάμμῳ, ϗ πλῆθος οὐκ εὐαρίθμητον Αἰθιόπων ἀνδρῶν ἀγρίων, ὡς ἰδὼν, νὴ τὴν τῶν ἐμῶν δυστυχημάτων θάλασσαν, ὅλος ἐξανέστην εὐθὺς, ϗ ἤθελον ὄναρ ὁρᾶν· τὸ δ' ὕπαρ ἦν· ὁρῶσι γάρ με ϗ μεθέλκονται τῶν τριχῶν, ϗ περὶ τὴν τριήρη βαρβαρικῶς φέρουσιν ὥσπερ τι θήραμα, παρῆν γὰρ ὥσπερ ἀπῃωρημένη τῆς γῆς ἐν πασσάλοις ϗ πείσμασι· ϗ περὶ τὸν τῆς τριήρους καταγαγόντες πυθμένα, τῇ κόπῃ παρακαθίζουσι· ἐπεὶ δ' ἀποζῶσι τῆς γῆς ὅλα συναγαγόντες τὰ πείσματα, κώπαις πτεροῦσι τὴν ναῦν, ὅσας τριήρεις αὐχοῦσι πυκνὰς, ϗ πε-

ςὶ λιμένα γενόμενοι νήνεμον, καὶ λίαν εὐάγκαλον ἐλλιμενίζουσι τὴν τριήρη, καὶ μικρὸν μεταχόντες τροφῆς καὶ πότου, τὰ δ' ἦσαν ἄρτος καὶ ὕδωρ τούτοις ἐπιφερόμενα, πρὸς ὕπνον ἐτράπησαν, περὶ πρῶραν καὶ πρύμνην ἀνυστάκτους ἀφοσιωσάμενοι φύλακας.

Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ἀναστάντες τῶν ὕπνων, κώπαις πάλιν πτεροῦσι τὴν ναῦν καὶ τοῦ λιμένος ἐξάγουσι, καὶ περί τι γεγονότες πολίχνιον, καὶ σιγῇ τὴν ναῦν προσορμίσαντες, καὶ τῶν χειρῶν ταῖς μὲν δὴ λαιαῖς ἀσπίδας λαβόμενοι, ταῖς δ' αὖ ἑτέραις δεξιῶς σπασάμενοι φάσγανα, καὶ ὅλους ἑαυτοὺς τοῖς ὅπλοις καταφραξάμενοι, ὡς μέλισσαι κηρίον, ὅλον ἐπεκύκλωσαν τὸ πολίχνιον· καὶ θροῦν ἐγείραντες βαρβαρικόν τε καὶ ἄσημον, ἀόπλοις ὁ πλῖται, κοιμωμένοις ἀγρύπνοι κατεπέθεντο, σφάττοντες, ἁρπάζοντες, ὡς θῆρες, ἀγρίως ἅπαν κατασπαραττόμενοι τὸ πολίχνιον, καὶ πᾶν τὸ προσυχὸν καταληϊζόμενοι, σὺν αὐταῖς γυναιξί,

σὺν



σὺν αὐταῖς παρθένοις, νεανίσκοις, ἀνδράσιν, ὅσοις μὴ πρὸς Ἅδην βαρβαρικὴ κατεβίβασε μάχαιρα.

Περὶ γοῦν τὴν τριήρη πᾶν τὸ ληϊσθὲν συναγαγόντες οἱ πειραταί, καὶ τούτοις κατεπιβάντες καὶ συνεπιβάντες αὐτοί, μακρὰν τοῦ λιμένος ἀπέβησαν· καὶ περὶ μέσα πελάγη γινόμενοι, καὶ ὡς ἐν θεμελίοις τοῖς καλωδίοις ὅλην τὴν τριήρη καταπηξάμενοι, τὰ σκῦλα μερίζονται· τούτων δ' ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν νεανίσκοις, ὅσον ἐν παρθένοις καὶ γυναιξὶν, ἀπεδύετο τὸν χιτῶνα· καὶ ἦν ἀπερικάλυπτον καὶ μέχρις αἰδοῦς, καὶ γύμνωσιν καθόλου φέρον τοῦ σώματος.

Ὁ μὲν οὖν δὴ πυθμὴν τῆς τριήρους, τοὺς νεανίσκους, καὶ τοὺς ἄνδρας ἐδέχετο· τὰς δὲ γυναῖκας αἰσχύνη καὶ βαρβαρική τις ἀσέλγεια· παρθένοις γὰρ οὐκ οἶδ' ὅπως, ἢ τίνι νόμῳ βαρβαρικῷ, καὶ χιτὼν διερρωγώς τις ἐπεδιδύσκετο, καὶ χεὶρ αὐθάδης οὐκ ἐπετίθετο· οὔτέ τι βαρβαρικὸν ἐπὶ ταύταις αἰσχρῶς κατεπράττετο.

Οὔ-

Οὕτω τοίνυν τὰ μὲν περὶ τὰς γυναῖκας
αἰσχρῶς, τὰ δ' ἄλλα ἀκόσμως οἱ Βάρβαροι
διακοσμησάμενοι, περὶ τὸ δεῖπνον ἐτράπησαν·
καὶ ἦν ἡ τράπεζα τούτοις πολυτελὴς, οὐχ ὡς
πρὸ μικροῦ βαρβαρικὴ καὶ παντελῶς ἀφιλό-
τιμος. τοῖς μὲν οὖν ἀνδράσιν, ὡς εἴρηται,
τῆς τριήρους ὁ πυθμὴν ἀφωσίωται· ταῖς δέ
γε παρθένοις, ὁ περὶ τὴν πρῶραν τόπος ἀ-
φώρισται, αἱ γάρ τοι γυναῖκες τοῖς Βαρβά-
ροις αἰσχρῶς περὶ τὸ δεῖπνον συνανεκλίθη-
σαν.

Μετὰ γοῦν δὴ πολυτελεῖς, ὡς εἴρηται,
τὰς τρυφὰς, καὶ τὴν αἰσχρὰν ἐκείνην καὶ ὅλην
αἵματος τράπεζαν, τοὺς μὲν νεανίσκους (ὀλί-
γοι δ' οὗτοι) ταῖς κώπαις παραχαθίζουσιν, ὅ-
σοι δ' ὑπερβεβήκασιν, οὗτοι, βαβαὶ τῆς τῶν
Βαρβάρων ἀμειλίκτου ψυχῆς! ξίφους γεγόνα-
σι παρανάλωμα, καὶ τὰς κεφαλὰς εἰς θάλασ-
σαν ἐλεεινῶς ἐξεσφενδονήθησαν· αἱ δὲ γυ-
ναῖκες τοῖς Βαρβάροις αἰσχρῶς συνανεκλίθησαν,
καὶ ἦν ἡ τριήρης παιδοχεῖον πλῆρες αἰσχρό-
τη-



τητος, καὶ συμπόσιον αἵματος· οὕτω μὲν οὖν
εἶχε τὰ τῆς νυκτός.

Ἐπεὶ δὲ νὺξ οὐδαμοῦ· ἥλιος γὰρ ὑπὲρ γῆν,
καὶ τὸ ζητούμενον φῶς ἡμῖν προσεγέλασεν,
καὶ ἦν ἡμέρα τὸ φῶς, ὡς ἐκ παστάδος ἀνέστη
τὸ Βάρβαρον, καὶ ἦν ὅλον μεθύον ταῖς ἡδο-
ναῖς, καὶ Βαρβάρῳ φωνῇ κατεγλωσσαλγοῦν,
καὶ οἷον διαλεγόμενον. μετὰ γοῦν δὴ πολύν
τινα θροῦν, ὅσον τὸ ναυτικὸν ἐγείρει, καὶ μάλ-
λον εἰ Βάρβαρον, ᾠδήτις ἀλλόθρους καὶ ἄσημος,
ἱστίῳ λευκῷ τὴν τριήρη κατεκόσμησε, καὶ τὸ
πνεῦμα πνεῦσαν ἐκ πρύμνης; ὅλον τὸ ἱστίον ἐ-
κύρτωσε, καὶ ἦν ἡ τριήρης, ὡς ἵππος ἐς πε-
δίον κροαίνουσα· καὶ ἵνα τὰν μέσῳ παρῶ, ὅ-
σα τὸ Βάρβαρον κατεκώμαζεν, ὅσα ταῖς γυ-
ναιξὶ ἀνηδεύετο, καὶ τἄλλ', ὁπόσα βαρβαρικῶς
καὶ ἀσέμνως ἐξέλετο, εὐφόρῳ τῷ πνεύματι,
περὶ τὴν Ἀρτύκωμιν ἐγενόμεθα, καὶ πλῆ-
θος ἐξ Ἀρτυκώμιδος ὁρῶμεν περὶ τὴν ἤπει-
ρον· καὶ μετὰ μὲν δὴ πολλὰς τὰς σπονδὰς,
ἃς οἶδε τὸ Βάρβαρον σπένδεσθαι, καὶ ὅσα πει-
ρα-

ραται πρὸς ἠπειρώτας διαλλάσσονται βαρβαρικῶς, δέχεται μὲν ἡ τριήρης ὁμήρους τινὰς, ἡ δ' ἤπειρος τὸν τῆς τριήρους φόρτον, ὅσον ἐκ τοῦ πολυχνίου τὸ βάρβαρον ἐληΐσατο· καὶ ἦν περὶ τὴν ψάμμον πανήγυρις αὐτοσχέδιος.

Ὅσον μὲν οὖν ἐν ἀργύρῳ, καὶ χρυσῷ, καὶ χαλκῷ καὶ σιδήρῳ, καὶ χιτωνίσκοις, καὶ τοῖς ἄλλοις, ὅσα βαρβαρικὴ κατεληΐσατο χεὶρ, τῆς τριήρους ἐξεφορτοῦτο, καὶ ὅλον διεπιπράσκετο· τὸ δ' ὅσον τῆς λείας ἐν ἀνθρώποις ἦν, οὐ μετεκομίσθη περὶ τὴν ἤπειρον, ἀλλ' ἐν αὐτῇ τριήρει κατεπιπράσκετο, καὶ γυναικῶν μὲν καὶ νεανίσκων αἰχμαλώτων ἡμῶν ὀλίγος τοῖς ἐξ Ἀρτυκώμιδος λόγος, ἢ μᾶλλον οὐδείς· τὸ πᾶν δ' ἐκεχήνει περὶ τὴν τῶν παρθένων κτῆσιν· αἱ δ' ἦσαν πολλοῦ τοῖς βαρβάροις τιμώμεναι, καὶ πολλοῖς τοῖς ἐξ Ἀρτυκώμιδος κτώμεναι.

Μετὰ μέν τοί γε τόξον καὶ πηγὴν τῆς Ἀρτέμιδος, ἣν Ἀρτύκωμις φέρει Ῥῆνον ποταμὸν



μὸν Κελτικὸν, ἱερὸν γὰρ ἐν Ἀρτυκώμιδι περιφανὲς τῆς Ἀρτέμιδος, οὗ μέσον χρυσοῦν Ἀρτέμιδος εἴδωλον, τόξον τεῖνον ταῖν χεροῖν· τοῖν δέ γε ποδοῖν πηγὰς βλύζον κατὰ ποταμὸν ῥεούσας ἐριβρύχην καὶ πολυχεύμονα· ταύτας δὴ τὰς πηγὰς ἀναγκαγχλάζειν εἴποις ἰδών· αὐδὴ καὶ τόξον, καὶ πηγαὶ, παρθένον ἐλέγχουσι, καὶ παρθενικῶν ἀποσύλησιν· εἰ γάρ τις παρὰ παρθένον διψυχεῖ, καὶ ζητήσει τὸν ἔλεγχον, ἐπὶ τὴν πηγὴν τὴν παρθένον ἐμβάλλουσι, τῆς δάφνης αὐτὴν στεφανώσαντες· εἰ μὲν οὖν ἡ τὴν πηγὴν εἰσδῦσα παρθένος, τὴν παρθενίαν οὐκ ἔψευσται, καὶ τὸ σεμνὸν οὐκ ἀποσεσύληται, τὸ τόξον Ἄρτεμις οὐ τείνει, τὸ ὕδωρ ἠρεμεῖ, καὶ ἡ παρθένος κούρως τοῖς ὕδασι φέρεται τῷ τῆς δάφνης στεφάνῳ κατακεκοσμημένη τὴν κεφαλήν· ἢ δ' Ἀφροδίτης πνεῦμα παρθενικὴν λαμπάδα κατέσβεσε, καὶ λαθὼν Ἔρως τὴν παρθενίαν ὑπέκλεψε, τείνει τὸ τόξον Ἄρτεμις παρθένος θεὸς, κατὰ μὴ παρθένου τῆς ἐψευ-

σμένης αὐτὴν, ϗ βάλλειν δοκεῖ κατὰ κεφαλήν· ἡ δὲ, φρίσσει τὸ βέλος, ϗ τὴν κεφαλὴν ὕδασιν ὑποκρύπτεται, τὸ ὕδωρ ἀνακαγχάζει ἀφαιρεῖται τὸν στέφανον.

Πᾶν οὖν ὅσον τοῖς Βαρβάροις ἐδυσμολογήθη παρθενικὸν, ἐκ δάφνης στεφανωθὲν, τῇ πηγῇ κατεβάπτετο· ϗ ὅσον μὲν οὐ κατέδυ τὴν κεφαλὴν, ὅσον οὐκ ἀφῄρηται τὸν στέφανον, ἠργυρολογήθη πολλοῦ· ὅσον δὲ τὴν παρθενίαν κατέψευστο, τὴν τελήρη κατεπληρώσατο, ϗ ταῖς γυναιξὶ συνηρίθμητο, ϗ χρυσοῦ χαλκὸν ἀντηλλάξατο τοῦ τῆς δάφνης παρθενικοῦ στεφάνου παράδου Βαρβαρικήν· οὕτω μὲν οὖν εἶχε τὰ περὶ τὰν Ἀρτύκωμιν, ϗ οὕτω τῆς τριήρους ἐξεφορτώθη τὰ λάφυρα, ϗ πάλιν ἡ τελήρης τοῖς συνήθεσι κατεπτεροῦτο πτεροῖς, ϗ πάλιν τὸ Βάρβαρον ἐφ᾽ ἑτέραν ἐστέλλετο, ϗ ἡμεῖς δοῦλοι Βαρβάρων ἐξ ἐλευθέρων εἱλκόμεθα.

Περὶ δὲ τρίτην ἡμέραν ἐπί τινα λιμένα καταίρομεν ἕτερον, ϗ τὴν τελήρη περὶ τὴν ἤ-





πειρον μεθειλκυσάντων ἡμῶν, ϗ ὅλην ταύτην ἐξαψαμμένων τοῖς πείσμασιν, ὅλον τῆς νεὼς ἐξέπτη τὸ Βάρβαρον, ϗ περὶ τὴν ψάμμον ἐγένετο ϗ τὰς γυναῖκας συμμεθειλκύσατο, ϗ ὅλην σκηνὴν ἐγγὺς κυμάτων ἐπήξατο, ϗ λαμπρὰν ἡτοιμάσατο τράπεζαν· ϗ μετὰ δὴ πολλὰς τὰς τροφὰς ϗ πόσεις ϗ Βαρβαρικά τινα παίγνια, ϗ τἄλλ᾽, ὁπόσα Βαρβαρικῶς ϗ ἀσέμνως ταῖς γυναιξὶ κατεχρήσατο, σὺν αὐταῖς γυναιξὶ πρὸς ὕπνον ἐτράπη τὸ Βάρβαρον, ὅλαις ἡδοναῖς καταβαπτισθὲν τὴν ψυχὴν, ϗ ὅλοις καταμεθύσαν τοῖς ἔρωσιν· οὕτω μὲν οὖν εἶχε τὸ Βάρβαρον.

Ἡμεῖς δὲ ἐκ πυθμένος τοῦ σκάφους τῇ μέθῃ τῶν Βαρβάρων θαῤῥήσαντες, ἑαυτοὺς ἀνηγάγομεν, ϗ μυρίοις κατετυραννούμεθα λογισμοῖς, ἢ τῆς τριήρους ἀποβῆναι περὶ τὴν ἤπειρον, ἢ σὺν αὐτῇ τριήρει τὰς χεῖρας τῶν Βαρβάρων φυγεῖν, ἢ τοῖς ὅπλοις ἑλληνικῶς καθοπλίσασθαι, ὅσα τελήρης φέρει πολλὰ, ϗ τοῖς Βαρβάροις κατεπιτίθεσθαι, ἢ νικᾶν, ἢ

πίπτειν μαχομένους ἡμᾶς. ταῦθ' ἡμεῖς ϗ στρατὸς ὁπλίτης περὶ τὴν ἤπειρον τοῖς βαρβάροις κατεπιτίθεται ὅλοις ὑπνοῦσιν, ὅλοις καταβεβακχευμένοις ἐξ οἴνου ϗ ἔρωτος· ϗ τὸ μὲν βάρβαρον ἅπαν κατεληΐζετο, ἡμεῖς δ' ἑλληνικὴν βαρβαρικῆς δουλείας ἀντηλλασσόμεθα, ϗ δοῦλοι πάλιν ἐκ δούλων γεγόναμεν· ϗ βαρβάροις δεσπόταις γεγονότες ὁμόδουλοι, ϗ αὐτοῖς δεσπόταις συναιχμαλοτιζώμενοι, ὁμογλώττοις ἕλλησιν ἐδουλογραφήμεθα, ϗ περὶ μέσην ἀγορὰν, ϗ πόλιν Δαφνήπολιν, Ἀπόλλωνος ἱερόν· στρατηγὸς ϗ στρατὸς ἐφ' ἡμῖν θριαμβεύει τὰ ἐπινίκια, ϗ ἡ πόλις κροτεῖ, ϗ ἀλαλάζει χαρμόσυνα, ϗ πάντες ἡμεῖς ἡ λεία, τὸ λάφυρον, ἐλεεινῶς ἀφειλκόμεθα μέχρις Ἀπόλλωνος ἱεροῦ, ὃ δὴ θαῦμα φέρει πόλις Δαφνήπολις.

Ἅμα γοῦν τὸ πᾶν περὶ τὸν βωμόν· κἀγὼ τοὺς πόδας περιχυθεὶς τοῦ θεοῦ, ϗ ὅλους πλύνων τοῖς δάκρυσι, σὺ στῆσον, Ἄπολλον, εἶπον, τὸν κλύδωνα, συμπαθὲς, εὔδιον ἀντι-

πνεύ-



πνεύσας τοῖς ἐμοῖς δυστυχήμασι· Διὸς Κῆρυξ σοῦ πατρὸς ἧκον ἐξ Εὐρυκώμιδος εἰς Αὐλίκωμιν, ἐκ δάφνης ταύτης τῆς σῆς τὴν ἐμὴν ταύτην ἀθλίαν στεφανωθεὶς κεφαλὴν, ἀλλ' Ἔρως σὸς ἀδελφὸς ῥόδοις ταύτην ἀντεστεφάνωσεν· οὗτός μοι τὴν παρθενίαν ἐσύλησεν, ἢ μᾶλλον ἐρωτικῶς ἀντηλλάξατο, Ὑσμήνην παρθένον ἀθλίαις ταύταις ἀντιπαραθεὶς μοι χερσὶν, ἣν ϗ Ποσειδῶν παρθένος ἀνήρπασεν ἐξ ἐμῶν τούτων ἀθλίων χειρῶν ϗ μέσης ψυχῆς, ὅλῳ πνεύματι πνεύσας, ὅλῃ θαλάσσῃ, ϗ κλύδωνι· σὺ δέ μοι στῆσον τὸν κλύδωνα, ϗ τὴν Ὑσμήνην παράθου μοι τῇ χειρὶ, ἢ κἀμὲ πρὸς αὐτὴν Ὑσμήνην ὅλον μετάγαγε· δοῦλος ἀντ' ἐλευθέρου γεγένημαι, ϗ τρίδουλος ἀντὶ Κήρηκος, Ἔρωτι δουλογραφηθεὶς τὰ πρῶτα, ϗ βαρβάροις τούτοις, ϗ τρίτον τοῖς ἐκ τῆς σῆς ταύτης Δαφνηπόλεως ἕλλησι.

Ταῦτ' ἔλεγον, ϗ τοῖς αἰχμαλώτοις συνεφειλκόμην περὶ δάφνην ϗ τρίποδα, ϗ χρη-

σμός

σμός με πάλιν ϗ κλῆρος δοῦλον χρεῖ, ϗ πάλιν τρίδουλος ϗ δοῦλος ἐγὼ, ϗ τῷ δεσπότῃ περὶ τὴν οἰκίαν μεθέλκομαι, ᾧ χρησμὸς ϗ κλῆρος τὴν ἐμὴν ἐχαρίσατο δούλωσιν· ἡ δέ μοι δεσπότις φησὶ „τίς πόθεν εἰς ἀνδρῶν „πόθι τοι πόλις ἠδὲ τοκῆες;“ ἐγὼ δ᾽ ἀλλ᾽ ὦ δέσποινα δοῦλος σὸς, τὰ δ᾽ ἄλλα ζητοῦσα μαθεῖν, ὅλον δρᾶμα ζητεῖς, ϗ ὅλον τραγῴδημα· παράδειγμα τύχης ἐγὼ νερτέρων σκιὰ, δαιμόνων παίγνιον, Ἐρινύων τράπεζα, ϗ λέγων τοὺς ὀφθαλμοὺς ἐπεπήγειν τῇ γῇ, ϗ ὅλην τοῖς δάκρυσιν ἔβρεχον· ἡ δ᾽ ἀλλ᾽ ἐπίσκηπτε λέγουσα, μὴ φείσῃ μηδενὸς, ἀλλὰ πάντ᾽ ἐκκάλυπτε λέγων· ἐμοῦ δὲ ἀπέλιπεν ἡ φωνὴ, ϗ ἡ γλῶσσα ἐπώχετο καί μου τῶν ὀφθαλμῶν κατὰ ποταμοὺς ἀπέῤῥει τὸ δάκρυον· ὁ δέ μου δεσπότης (παρῆν γὰρ ϗ αὐτός) καιρὸς ἀρίστων, ἀνακλιθῶμεν ἐπὶ τὸ δεῖπνον. ϗ περὶ τράπεζαν ϗ μέσας τροφὰς τῇ γλώσσῃ τοῦ δούλου καιρὸν χαρισώμεθα.

Τοί-



Τοίνυν παρετίθετο τράπεζα, ϗ οἱ δεσπόται μὲν ἀνεκλίνοντο, ἐγὼ δὲ παρειστήκειν δουλοπρεπῶς· ϗ πάλιν ἡ δεσπότις πρός με φησὶν, ἰδού σοι καιρὸς κατὰ μέρος τῇ γλώσσῃ ἡμῖν καταζωγραφῆσαι τὰ σὰ, ἐγὼ δὲ ϗ μόνον ἐπιμνησθεὶς ἐλεεινὸν ἐξερυχησάμην ἐγκάρδιον, πολλὰ δὲ τῶν ὀφθαλμῶν κατέσταξα δάκρυα, φείσασθε, λέγων, δεσπόται δυστυχημάτων ἐμῶν, μὴ τὴν τράπεζαν εἰς κοπετὸν μεταβάλω ϗ πένθους κρατῆρα ἡμῖν κεράσωμαι, ϗ λέγων οὐκ ἔπειθον, ϗ μὴ πείθων,

„αἲ αἲ τὸ δοῦλον ὡς κακὸν πεφυκέναι, φημὶ,
„τολμᾷ θ᾽ ἃ μὴ χρὴ, τῇ βίᾳ νικώμενον.

Ἐμοὶ πατρὶς, πόλις Εὐρύκωμις, πατὴρ Θεμιστεὺς, ϗ μήτηρ Διάντεια· εἰ δ᾽ εὐτυχοῦντες, εἰ δὲ τὰ πρῶτα φέροντες τῶν ἐν Εὐρυκώμιδι, οὐκ ἐμόν ἐστι λέγειν. καιρὸς Διασίων τῇ πόλει, ϗ πανήγυρις λαμπρὰ τὰ Διάσια, ἐγὼ δὲ δάφνῃ στεφανωθεὶς, χιτῶνι κατακοσμηθεὶς, Ἀρσύλῃ σεμνῇ, ϗ ὅλον

πε-

περιδυθεὶς τὸ κηρύκιον, Κῆρυξ ἦκον εἰς Αὐλικώμιδα, καί μου τὸν στέφανον Ἔρως ἐσύλησεν, Ὑσμίνῃ παρθένῳ περικαλλεῖ Σωστράτου θυγατρὶ τὰ πρῶτα τῶν ἐπ' Αὐλικώμιδι φέροντος ἀγκίστρῳ χρησάμενος· καὶ δοῦλος Ἀφροδίτης εἰς τὴν ἐμὴν Εὐρύκωμιν ἀνθυπέστρεψα, σὺν αὐτῇ παρθένῳ καὶ τῷ ταύτης πατρί· τὰ δ' ἑξῆς ὁποῖα; Σωσθένης πατὴρ Ὑσμίνης ἐν μέσῃ τραπέζῃ καὶ δείπνῳ πολυτελεῖ γάμον ἕτερον κηρύττει τῆς θυγατρὸς, ὃν ἡδέως φεύγοντες ἡμεῖς, πικρῶς ἁλισκόμεθα, εἰς πῦρ ἐκ καπνοῦ ἐμπεσόντες, κἀξ ὄμβρων εἰς θάλασσαν.

Ναῦς ὑπηρέτις ἡμῖν τῇ φυγῇ, πρὸς ἣν Ποσειδῶν ἀντιπνεῖ, καὶ θῦμα ζητεῖ, καὶ τὸ θῦμα κληρούμεθα, καὶ ἦν ὁ κλῆρος ἐπὶ τὴν Ὑσμίνην πεσών· ἡ δέ μου τῶν χειρῶν ἐλεεινῶς ἐκσπασθεῖσα κατὰ κυμάτων ὠθεῖται, καὶ τὸ μὲν ναυτικὸν ἐξάγει ταύτῃ τοῦ κλύδωνος, ἐμὲ δὲ εἰς μέσας θαλάσσας ἐμβάλλει καὶ κλύδωνα, καὶ θρῆνον καὶ κωκυτόν· ἄδη μὴ φέρον τὸ ναυτι-

κόν.



κὸν, τῆς νεὼς περὶ τὴν Χέρσον ἐκσφενδονᾷ με, καὶ τὸ βάρβαρον τοῦτο τὸ νῦν συναιχμάλωτόν μοι, αἰχμάλωτον ἄγει με, ὅθεν ἐκ τῆς ταύτης χειρὸς πάλιν αἰχμαλωτίσθην, δοῦλος ἐκ δούλου γενόμενος.

Ταῦτ' ἔλεγον, καὶ κατεβρεχόμην τοῖς δάκρυσιν· ἡ δέ μοι δεσπότις φησὶ, ὅλον δρᾶμα τὰ κατὰ σὲ, καὶ ὄντως τραγῴδημα, τὰ δ' εἰς δεσπότας ἡμεῖς εὐτυχεῖς· ἐγὼ δ' ὅτι δεσπότας μᾶλλον ἔχω δυστυχῶ, πρὸς τὴν δέσποιναν ἔλεγον

„ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν
„φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ.

καὶ ὁ δεσπότης φησὶ, εἰ μέν σοι πατρὶς περιφανὴς, καὶ γένος λαμπρὸν, καὶ τὰ κατ' οἴκους πολυτελῆ, νῦν τούτων ἔχεις οὐδέν· δοῦλος γὰρ εἶ, καὶ δοῦλος ἡμῶν· εἰ δὲ καὶ σωφροσύνης καὶ παρθενίας Ἀφροδίτην ἀντηλλάξω καὶ ἔρωτα· εἰ δὲ καὶ στεφάνων δάφνης παρθενικῆς, στέφανον ἐκ ῥόδων ἐρωτικῶν, μή σύγε τὸ

ἀπὸ

ἀπὸ τοῦδε, ἀλλὰ κτῆσαι τὸ σῶφρον, καὶ τὸ φιλόσωφρον ἀγάπησαι, ἵνα μὴ τὴν σωφροσύνην ἐξ ἔργων μάθῃς αὐτῶν, καὶ χεῖρα δεσπότου κτήσῃ διδάσκαλον.

Ταῦθ᾽ ὁ δεσπότης ἐγὼ δ᾽ ἐσίγων, καὶ τοὺς ὀφθαλμοὺς εἶχον ὁρῶντας εἰς γῆν, καὶ ὅλους δακρύων μεστούς· καὶ οὕτω πέρας τὰ τῆς τραπέζης ἐδέχετο, καὶ ὁ τῶν Διασίων Κῆρυξ Ὑσμηνίας ἐγὼ, ὁ τῇ δάφνῃ στεφανωθεὶς, ὁ λαμπρῶς τὸ πρῶτον πλεύσας ἐξ Εὐρυκώμιδος, ὁ περὶ τὴν Αὐλίκωμιν βασιλικῶς ἐφ᾽ ἅρματος ἱππασάμενος, πολυτελῶς ἐπὶ τῆς τοῦ Σωθένους λαμπρᾶς τραπέζης ἀνακλιθεὶς, ἐπὶ δουλικῆς τραπέζης νῦν ἀνακέκλιμαι σὺν ὁμοδούλων χορῷ καὶ τὰ τῶν δούλων ὑπηρετῶ, καὶ ὅλος δοῦλός εἰμι, καὶ ὅλην δουλείαν ἐνδέδυμαι, καὶ ὅλην δουλοπρέπειαν ὑποκρίνομαι, ὅλον ἀποδυθεὶς (ὦ Ζεῦ καὶ θεοὶ) τὸ κηρύκιον, καὶ ὅλον τὸ ἐλευθέριον.

Οὕτω μὲν οὖν εἶχε τὰ κατ᾽ ἐμὲ, καὶ οὕτως ἐδούλευον· ἀλλ᾽ οὐδ᾽ ἐν μέσοις οὕτω δεινοῖς Ὑσμή-

σμή-



σμήνης τῆς παρθένου ἐμῆς φίλης λήθην ἔπαθον· οὐ μὴ τὸν φοβερὸν Ἔρωτα τὴν τοσούτων δυστυχημάτων πηγήν· ὁ τῶν Διασίων ἧκε καιρός· καὶ κἀμοὶ Δαφνήπολις οὐ τιμᾷ τὰ Διάσια, καὶ οὐκ ἄγει πανήγυριν, ἀλλ᾽ ἐμὲ οὐ διέλαθε, καὶ τὴν μνήμην ἀνῆψε, καὶ τὸν θρῆνον ἐξήγειρεν, ἀλλ᾽ ἐμὴ τύχη, καὶ τούτων ἐφθόνησεν, ἐθρήνουν, ἀλλὰ τὸν θρῆνον ὑπέκλεπτον· ἐδάκρυον καὶ τοὺς ὀφθαλμοὺς ὑπεκρυπτόμην τῶν δεσποτῶν· τὴν ψυχὴν εἶχον καὶ φωνὴν καὶ γλῶσσαν πρὸς δάκρυα· δοῦλος ὁ Κῆρυξ ἐλεεινολογούμενος, ὅλην ἀνεπλαττόμην τῷ νῷ τὴν Εὐρύκωμιν, τὴν Αὐλίκωμιν, τὸ κηρύκειον, τὸν τοῦ Σωθένους κῆπον, τὸ περὶ τὸν κῆπον φρέαρ, τὰ παρὰ τοῦτο πτηνὰ, τὸν κατάχρυσον Ἀετὸν, τὴν Ὑσμήνην κιρνῶσαν, ἐρωτικῶς μοι προσπαίζουσαν, τοῖς ποσί μου συμπαίζουσαν, ταῖς κύλιξι καταπαίζουσαν, καὶ τἄλλ᾽ ὁπόσα τότε, (βαβαὶ τῶν ὡς ἐν ὀνείροις ἐρωτικῶν ἡδονῶν) κατεπαίζομεν· καὶ ἐπὶ πᾶσι τούτοις, Ὑσμήνη μοι φίλη λεπτὸν ὑπε-

ὑπε-

ὑπεψιθύριζον, οἷς μέσοις ἡ δεσπότις αἴφνης ἐφίσταται, καί μοι φησὶν, ἰδού σοι παρίσταται, ἔχεις Ὑσμήνην ἐμὲ δέσποιναν σὴν καὶ δούλην ἐξ ἔρωτος· ἐγὼ δ' οὐδὲν εἰπὼν, εὐθὺς ἀπεπήδησα, καὶ μόνης Ὑσμήνης ἐτίμων τὸν ἔρωτα, καὶ ὅλην ἐνοπτριζόμην αὐτήν.

Ὅσα μὲν οὖν μοι συνέπαιζεν ἡ δεσπότις, ἐρωτικῶς καὶ κατεπετίθετο συνεχῶς, καὶ ὅσα παρὰ τῷ δεσπότῃ κατελοιδόρει με, καὶ ὅσα με κατηπειλεῖτο, καὶ χειρὶ καὶ γλώσσῃ, καὶ κεφαλῇ, οὐ τῆς ἐμῆς ἂν εἰς ταῦτα γλώσσης λαλεῖν, ἵνα μὴ λαθὼν ἔρως τῇ γλώσσῃ καταπορνεύσῃ μου τὴν ψυχήν· ἣ καὶ τὴν γλῶσσαν αὐτὴν, ἣν Ὑσμήνῃ παρθένῳ φυλάξω μεστὴν χαρίτων ἐρωτικῶν, καὶ μέλιτος Ἀφροδίτης, οὗ κατακόρως ἡμεῖς τῇ γλώσσῃ μόνῃ κατετρυφήσαμεν.

Καιρὸς οὖν ἑορτῆς καὶ λαμπρὰ πανήγυρις· παρθένος γὰρ ἐν Δαφνηπόλει· καὶ παρθένου Δάφνης φυγὴ τὰ τῆς ἑορτῆς· καὶ φύσις ὁμωνύμου φυτοῦ, καὶ ἐπὶ πᾶσιν Ἀπόλλωνος ἑορ-

τὴ



τὴ καὶ πανήγυρις· παρθένος γὰρ ἡ Δάφνη καὶ παρθένος καλή· ταύτης Ἀπόλλων ἐρᾷ, καὶ ἡ παρθένος φρίσσει τὴν συμπλοκὴν τοῦ θεοῦ, καὶ ἀνανεύει τὸν Ἔρωτα, τὴν γῆν δυσωπεῖ, ἡ δ' ἐλεεῖ τὴν κόρην καὶ φεύγουσαν κρύπτει, καὶ παρθένον τηρεῖ, καὶ φυτὸν ὁμώνυμον ἀντιδίδωσιν· Ἀπόλλων τοῦ φυτοῦ στεφανοῦται καὶ παραμυθῆται τὸν Ἔρωτα. Παρὰ γοῦν δὴ τῇ Δάφνῃ βωμὸς, καὶ πόλις ὁμώνυμος· Ἀπόλλωνος ὁ βωμὸς, καὶ ἡ πόλις Δαφνήπολις. ταῦτα δὴ ταῦτα πανήγυρις Δαφνηπόλει, καὶ Κήρυκες στεφανῖται χρησμὸν λαμβάνοντες τὸ κηρύκειον· Ἀπόλλων χρησμοδοτεῖ, καὶ Κήρυκα τὸν ἐμὸν δεσπότην ἀνηγόρευσε, καὶ Κήρυκα λαμπρὸν ἐς Ἀρτύκωμιν· ὁ δὲ, στεφανοῦται τῆς Δάφνης, διὰ μέσης ἀγορᾶς προπομπεύει λαμπρᾶς, διὰ μέσου θρίσου θριαμβεύει θεάτρου· καὶ πλῆθος περὶ τὸν Κήρυκα, καὶ πομπὴ λαμπρὰ, ποικίλη, καὶ τἄλλ' ὁπόσα κἀμὲ κατέπαιζε τὸ κηρύκειον· ὧν πάντων μεμνημένος ἐγὼ μέσῳ

 λαμ-

λαμπρῷ θεάτρῳ, ἢ λαμπρᾷ τελετῇ πλήρη χαρίτων ἢ ἡδονῆς, θρήνων ἐπληρώμην ἢ κωκυτῶν, ἢ ὡς ἐν κεραυνῷ τῇ μνήμῃ τὴν ψυχὴν κατεκεραυνοβολώμην πυκνά.

Οὕτω τοίνυν, ὅτω λαμπρῶς, ὅτω πολυτελῶς ἢ φιλοτίμως ὁ Κῆρυξ ἢ δεσπότης ἐμὸς περὶ τὴν οἰκίαν ἐγένετο, δάφνης ἐςεφανωμένος, χιτῶνι κεκοσμημένος λαμπρῷ, ἢ πεδίλῳ σεμνῷ. μετὰ γὰρ δὴ τὴν λαμπρὰν ἐκείνην προπομπὴν, ἣν κἀγώ ποτε (βαβαὶ τῆς τύχης) ἐπόμπευον εἰς Εὐρύκωμιν, ὁ Κῆρυξ σὺν αὐτῇ μοι δεσποίνῃ, περὶ λαμπρὰν ἀνακλίνεται τράπεζαν, δάφνῃ τὴν κεφαλὴν ἐςεφανωμένος, ἢ Κῆρυξ ὢν ἐκ κορυφῆς ἢ μέχρι ποδῶν.

Περὶ δὲ μέσην τὴν τράπεζαν ἡ δεσπότις φησὶν, Κῆρυξ σὴν μὲν ταύτην ἐμὴν κεφαλὴν Ἀπόλλων λαμπρῶς ἐςεφάνωσε, Κήρυκά σε λαμπρὸν ςειλάμενος ἐς Ἀρτύκωμην, ἢ Κήρυκα λαμπρᾶς Ἀπόλλωνος ἑορτῆς, καί σοι τὰ περὶ τὴν ὁδὸν εὖ διάθοιτο· δᾶλος

δ' ἔ-



δ' ὅτος ἡμῶν ὃν αἰχμή σοι ἢ γεννικὰ χεὶς ἐληΐσατο, μή σοι συνέψοιτο ἐς Ἀρτύκωμιν· δοκεῖ γάρ μοι ἢ τῷ νῷ συνετὸς, ἢ τῇ γλώσσῃ σοφὸς, ἢ ὅλος συνέχων τὸ ἐπισκήνιον, ἢ συνεχῶς θρηνῶν, ἢ κομπτόμενος· δέδοικα γὰρ μήτισοι νεανιεύσηται τῶν ὀκ ἀγαθῶν, ὅτι ἢ δᾶλον τοῖς δεσπόταις πολέμιον· ἢ ὁ δεσπότης φησὶν, ἀλλὰ κατὰ τὴν τραγῳδίαν

„ χρηςοῖσι δᾶλοις συμφοραὶ τῶν δεσποτῶν
„ κακῶς πίπτονται

ἡ δὲ ἀλλὰ χρηςοῖσι φησιν ἡ τραγῳδία· ὁ δὲ, ἢ Κῆρυξ γεγονέναι τερατολογεῖ, ἢ γένος ἢ πατρίδα λαμπρολογεῖ· ἢ ἄλλα πολλὰ καταγλωσσαλγεῖ.

Καὶ ὁ δεσπότης πρός μέ φησιν, εἰ Κῆρυξ, ὡς εἴρηκας, γέγονας, ὅτω δὴ ἢ σὺ κατ' ἐμὲ τὴν κεφαλὴν ἐςεφάνωσαι; ἐγὼ δὲ ἀλλὰ σύ μοι δέσποτα Κῆρυξ, φεῖσαι γλώσσης ἐμῆς ὅτω προπετῶς κινεμένης ἢ ἀναι-



δῶς·

δῶς· ἀληθῶς ϗ τοὺς πόδας κεκόσμημαι, ϗ ποδήρη χιτῶνα τουτοῒ λαμπρότερον περιδέδυμαι· ὅτι ϗ Κῆρυξ Διὸς πατρὸς ἀνδρῶν τε θεῶν τε· σὺ δέ μοι σύγγνωθι δέσποτα. ϗ πρὸς τὴν δεσπότιν ὁ δεσπότης φησίν· ἴσως ποτ᾽ ἦν Κῆρυξ οὗτος ἐλεύθερος ὢν, κοὖν βάρβαρος χεὶρ εἰς δουλείαν μετήγαγεν.

„τύχη γὰρ τὰ θνητῶν πράγματ᾽ οὐκ εὐβουλία

εἰ γοῦν μοι συνέψοιτο περὶ τὴν Ἀρτύκωμιν, ἴσως οὐκ ἀσυντελὴς ἔσαι μοι τῷ κηρύγματι. ταῦτα εἶπε ϗ τῆς τραπέζης ἀνέστη, ϗ πρὸς τῷ λειτουργήματι γέγονε, ϗ πάλιν ἡ πόλις ὀρθὴ, ϗ πάλιν λαμπρὰ προπομπὴ, ϗ πάλιν ᾠδαὶ, ϗ τἄλλ᾽ ὁπόσα κοσμοῦσι τοὺς Κήρυκας.

BI-



# ΒΙΒΛΊΟΝ, Θ΄.

Οὕτω τοίνυν, οὕτω λαμπρῶς τὴν πρὸς τὴν Ἀρτύκωμιν ἐςελλόμεθα, ϗ παρὰ ταύτην ὁ Κῆρυξ ἐγένετο, ϗ πάλιν λαμπρὰ προπομπὴ, ϗ πάλιν ὄχλος ϗ θρίαμβος, κόσμος ἀγειῶν, καλλώπισμα ἀγορῶν, παρθένων στεφάνωμα· περὶ γὰρ δὴ τοῦτο τὸ μέρος Ἀρτύκωμις εὐτυχεῖ, παρθενίαν τιμῶσα ϗ βωμὸν Ἀρτέμιδος παρθένου κόσμον ἔχουσα κεφαλήν· κυμβάλων πλῆθος καταθέλγον τὴν ἀκοὴν, πασάδων καλλωπισμὸς, ἡδύνων τοὺς ὀφθαλμοὺς, ῥόδων σαλαγμοὶ ϗ πᾶς εὐώδης καπνὸς εὐφραίνων τὴν ὄσφρησιν, ϗ πλῆθος ῥητόρων λαμπρῶν ὑφαῖνον τὸ εἰσιτήριον.

Ὁ μὲν δὴ δεσπότης ἐμὸς ἐν μέσῳ ταύτῃ λαμπρᾷ προπομπῇ ϗ ποικίλῳ θριάμβῳ

F 3 ϗ

ϗ πολυτελεῖ, ϗ οἷον Ἀπόλλων αὐτὸς ἐθριάμβευσεν ἂν μακρὰν βιβὰς ὥδευεν οἷον ὑπερνεφέλῳ τῷ σχήματι, ὀφρὺν ἐπαίρων μέχρις ἐς αὐτὸν οὐρανόν· ἐμὲ δ' ἡ μνήμη μέχρις εἰς Ἅδου κατήγαγε πυθμένα, ϗ τοὺς ὀφθαλμοὺς ἐπλήρουν δακρύων εἰς αὐτήν μου μέσην σταζόντων ψυχήν· οἱ τῆς Ἀρτυκώμιδος προὔχοντες ζητοῦσι ξενίσαι τὸν Κήρυκα, ϗ ὅλον ἕκαστος πρὸς ἑαυτὸν ἀνθέλκεται ϗ μεθέλκεται· ϗ καινή τις ἔρις ϗ φιλοξενίας ἀγών, εἴποι τις ἰδών, ἀγαθὴ δ' ἔρις· ἥδε βροτοῖσι.

Σώστρατος νικᾷ τὸν ἀγῶνα, ϗ ἅρμα φέρων ἀνάγει, ϗ παρὰ τὴν οἰκίαν μετάγει τὸν Κήρυκα, ϗ φιλοφρονεῖται τοῦτον φιλοτιμώτατα ὅσα ϗ Σωθένης Ὑσμηνίαν ἐμέ, πλὴν Ὑσμήνης, πολυτελῶς ἐφιλοφρονήσατο· ἃ πάντα μέσης ἥπτετό μου ψυχῆς, ϗ λήθης ηὐχόμην κρατῆρα πιεῖν. ὅλον ὁ Κῆρυξ ἀπετίθετο τὸ κηρύκειον· ϗ τράπεζα πολυτελὴς παρετίθετο, ϗ παρθένος Ῥοδόπη Σωστράτου θυ-

γά-



γατὴρ οἰνοχοεῖ· καλῶς μὲν κατὰ παρθένον ἁπλῶς, πρὸς δέ γε τὴν ἐμὴν ἐκείνην Ὑσμίνην, ὡς πρὸς Ἀφροδίτην Μιμώ. Τρυφαὶ ποικίλαι περὶ τὴν τράπεζαν, ὅσαις δὲ ϗ Σωθένης φιλοφρονεῖσθαι τοὺς Κήρυκας· ἐπὶ δὲ πᾶσι τούτοις ὀφθαλμός ἥλλετό μου ὁ δεξιός, ϗ ἦν μοι τὸ σημεῖον ἀγαθόν, ϗ τὸ προμάντευμα δεξιώτατον. εἰ μὲν οὖν ὁ τῆς Ἀρτυκώμιδος οἶνος ἡδύς, κατὰ τὸν ἐξ Αὐλικώμιδος οὐκ οἶδα νὴ τοὺς θεούς· Σώστρατος γὰρ οὐκ εἶχε κατὰ Σωθένην Ὑσμίνην οἰνοχοεύουσαν· ὅθεν ἡττᾶται Σωθένης, καί μου τὸ κηρύκειον τοῦ δεσπότου τοσοῦτον φιλοτιμότερον, ὅσον ϗ δυστυχέστερον.

Μετὰ γοῦν τὰς ἐν τῇ τραπέζῃ τρυφὰς ϗ τὸ τοῦ συμποσίου πολυτελές, ϗ λίαν φιλότιμον, Ῥοδόπη κιρνᾷ κρατῆρα τῆς ἑορτῆς· ὁ μὲν οὖν Κῆρυξ ϗ τῇ τύχῃ δεσπότης ὤν, ἐπὶ τοῦ πολυτελοῦς τραπέζης ἀνακείμενος λαμπρῶς, ἔπιεν, ὡς οἶμαι, μεθ' ἡδονῆς· ἐγὼ δὲ ὁ ποτὲ Κῆρυξ, ὁ λαμπρῶς



ἀνα-

ἀνακεκλιμένος τραπέζης, ὁ τῷ Σωθένει φιλοτίμως φιλοφρονηθεὶς ὁ τὴν Ὑσμήνην ἔχων οἰνοχοεύουσαν, ἣν καὶ μόνον ἰδεῖν εὐτυχὲς, ἔργα τὰ δούλων ὑπέχω, καὶ ὅλος δοῦλός εἰμι· καὶ εἰ μὴ κατελύετο τὸ συμπόσιον τάχα ἂν ὅλος ὑπ' ἄλγους ἐῤῥάγην αὐτός· ἀλλ' ὁ Κῆρυξ ἀναστὰς τῆς τραπέζης ἐπὶ τὸ δωμάτιον φέγονε, καὶ παρὰ κλίνῃ λαμπρᾷ μαλακῶς ἀνακέκλιται· οἵαν κἀμοί ποτε Σωσθένης ὑπέστρωσεν. ἡ τοῦ Σωστράτου θυγάτηρ κατὰ τὴν ἐμὴν Ὑσμήνην ἧκε τοὺς πόδας ἐκπλύναι τοῦ Κήρυκος, καὶ τρεῖς παιδίσκαι παρείποντο καθυπουργοῦσαι τῷ λειτουργήματι.

Ἔνιπτε μὲν οὖν ἡ Ῥοδόπη, ἐγὼ δὲ τὰ παρὰ τοὺς ἐμοὺς ἀναλογιζόμενος πόδας, ἔκ τε χειρῶν καὶ χειλέων τῆς ἐμῆς ἐκείνης Ὑσμήνης χαριεντίσματα, πνεῦμά τι μέγα καὶ λίαν ὀδυνηρὸν ἐξ ἐμῶν μέσων ἐγκάτων ἀνέσπασα, καὶ δακρύων ἐπληρώθην τοὺς ὀφθαλμούς. καὶ θεραπαινὶς ἡ τῶν ποδῶν τὸ μάκτρον ἀνέχουσα πρὸ χειρῶν, μικρὸν ὑπεστέναξεν,

ξεν,



ξεν, ὥσπερ μιμουμένη τὸ τῆς ἠχοῦς ὑστερόφωνον, καὶ οἷον Ὑσμήνη λεπτὸν ὑπεστέναξεν, ὅτε τῷ ποδί μου τὸν πόδα ταύτης ἐπὶ τῆς τοῦ Σωσθένους τραπέζης ἐπέθλιψα.

Εἶδον οὖν ἀτενῶς εἰς αὐτὴν, καὶ νὴ τὴν Ὑσμήνην, τὴν Ὑσμήνην ἐδόκουν ὁρᾷν· ἡ δ' ἀντέβλεπεν ἀτενέστερον· ἐπεὶ δ' ἡ τοῦ Σωστράτου θυγάτηρ ἀπονιψαμένη τοὺς πόδας τοῦ Κήρυκος ᾤχετο, καὶ αἱ θεραπαινίδες παρείποντο, συνῴχετο ταύτῃ καὶ ἣν ὡς Ὑσμήνην ἑώρων αὐτός. ἐγὼ δ' ὅλην τὴν νύκτα κατετυραννούμην τοῖς λογισμοῖς, ἆρ' ἦν Ὑσμήνη λέγων κατ' ἐμαυτὸν, ἀλλ' ἐκ χειρῶν ἀπεσπάσθη τούτων ἐμῶν, καὶ χερσὶ κυβερνήτου δημίου πρὸ τούτων ἐμῶν ἐλεεινῶν ὀφθαλμῶν ἐξεσφενδονήθη τοῖς κύμασιν· ἀλλὰ Ζεὺς ἀλλ' Ἔρως τὴν κόρην ἐῤῥύσατο, καὶ πάντως ἔχει ταύτην Αὐλίκωμις· οὐδὲ γὰρ ἐπὶ κακῷ καὶ δουλείᾳ ταύτην ἐσώσαντο. καὶ ὅλην αὐτὴν ἀνεπλαττόμην τῷ νῷ, καὶ λογισμοῖς ποικίλοις ὅλην τὴν νύκτα παραμετρού-



μέ-

μενος τῆς στρωμνῆς ἀνέστην, μηδὲ μέχρι βλεφάρων τοῖς ὕπνοις σπεισάμενος.

Ἡμέρα γοῦν καὶ τοῖς κατὰ νύκτα κακοῖς, μεῖζόν μοι προσεπιτίθεται τὸ κακὸν, καὶ κατὰ διαδοχάς μοι τὸ δυστυχές· πάλιν Ὑσμηνίας ἐγὼ τὰ δούλων ὑπέχω, καὶ πάλιν δουλεύω. καὶ ὅλος δοῦλος καὶ τρίδουλος· δοῦλος Ὑσμήνης ἐξ Ἔρωτος, δοῦλος λογισμῶν ἐκ τῶν ὀφθαλμῶν, καὶ δοῦλος ἐκ τύχης τοῦ Κήρυκος. τράπεζα καὶ πάλιν πολυτελής· καὶ πάλιν ὁ Κήρυξ τῷ Σωστράτῳ συνανακλίνεται, καὶ πάλιν Ῥοδόπη κιρνᾷ, καὶ πάλιν κατ' ἐμῆς ψυχῆς ἡ μνήμη στρατεύεται, καὶ ταύτην ὅλην πολιορκεῖ, πρὸς τὴν Αὐλίκωμιν ἄγει, πρὸς τὴν Ὑσμήνην μεθέλκεται, καὶ ὅλον ἀναπλάττει μου τὸ κηρύκειον. ἐν μέσοις τούτοις τῇ δεσποίνῃ ἡ παιδίσκη καὶ πάλιν ὑπηρετεῖ, καὶ πάλιν ἐγὼ τὴν παιδίσκην ὁρῶ, καὶ πάλιν τὴν Ὑσμήνην βλέπειν δοκῶ. ἡ δ', ἀτενέστερον ἀντιβλέπει με, καὶ τοὺς ὀφθαλμοὺς πληροῦται δακρύων. ἐγὼ δ' ὑπεκστὰς τῆς τραπέζης, δά-



φνῃ παρακαθίζω συνηρεφεῖ (ἐγγὺς γὰρ παραδείσου τὰ τῆς τραπέζης ὁ Σώστρατος ἡτοιμάσατο) καὶ δακρύων τοὺς ὀφθαλμοὺς πληρωθεὶς, καὶ βύθιον στενάξας ἐλεεινὸν, φεῖσαί μου, Ζεῦ, εἶπον, στῆσόν μου τὴν μακρὰν πλάνην, τὸν βαρύν μοι κλύδωνα καταπράϋνον· ἰδοὺ με καὶ πάλιν κατεπαίζουσι δαίμονες, πλάττουσι τὴν Ὑσμήνην, κοσμοῦσιν ἐρωτικῶς, ἱστῶσί μου κατὰ μέτωπον, καί με κατατυραννοῦσι, καὶ τοῖς ὀφθαλμοῖς καὶ τοῖς λογισμοῖς.

Ταῦτ' ἔλεγον, καί τις ἐπιστᾶσά μοι παιδίσκη φησίν· ἐξ Ὑσμήνης παρθένου σῆς ἐρωμένης καὶ νῦν ἐμῆς ὁμοδούλου τουτό σοι τὸ ἐπιστόλιον· καί μου τῇ χειρὶ παραθεῖσα δρομαίως ᾤχετο. τοῦτο δ' ἐγὼ λαβὼν ἀνέπτυξα σύντρομος, τὸ δ' εἶχεν οὕτως.

## Ἐπιϛολὴ Ὑσμήνης πρὸς Ὑσμηνίαν.

Ὑσμήνη παρθένος Ὑσμηνίᾳ τῷ ἐραϛῇ χαίρειν.

„ Ὑσμηνία θεμιϛειδῆ! ἴσθι ὡς Ὑσμήνην τὴν
„ σὴν Δελφὶν θαλάσσης ἐῤῥύσατο, ϗ πηγὴ
„ ϗ τόξον Ἀρτέμιδος παρθένου Θεᾶς, παρ-
„ θένον σοι ταύτην παρεφυλάξατο· οὐδὲ μὴ
„ λήθην νοσήσῃς, μήτε τῶν ἐπ' Αὐλικώμιδος
„ τῆς ἐμῆς πατρίδος πολλῶν χαρίτων ἐρωτι-
„ κῶν, μήτε τῶν ἐπ' Εὐρυκώμιδος πατρίδος
„ τῆς σῆς, μήδ' ὅτι διὰ σὲ ϗ πατρίδος
„ ϗ τῶν κατ' οἶκον λαμπρῶν πάντων κα-
„ τεφρόνησα. θαλάσσης ϗ κυμάτων κα-
„ τετόλμησα διὰ σὲ θανάτου γευσαμένη
„ πικροῦ· ϗ τέλος αἰχμάλωτος, ϗ νῦν δού-
„ λη ὡς ὁρᾷς, ϗ ἐπὶ πᾶσι τὴν παρθε-
„ νίαν ἀπαρεγχείρητος· ϗ νῦν ὁμοιόδουλος ἐ-
„ πὶ Δαφνήπολιν συνεκπλεύσω σοι· ἔῤῥωσο·
„ ϗ τὰς συνθήκας ἀπερεγχειρήτους τηρῶν,
„ σωφρόνως ἀντιπαρθένευε.

Οὕ-



Οὕτω μὲν οὖν εἶχε τὸ ἐπιϛόλιον, ὃ πι-
ϛεύειν τοῖς γράμμασιν ϗ συνεχωρέμην τοῖς
πράγμασι· τὸ μὲν γὰρ δὴ γράμμα πεί-
θειν ἐμάχετο τὴν παιδίσκην Ὑσμήνην εἶναι,
ϗ τῆς Ὑσμήνης τὸ ἐπιϛόλιον· ὅλο γὰρ
δρᾶμα τὸ καθ' ἡμᾶς ἀνεπλάττετο, τὸ δὲ
τοῦ πράγματος καινὸν ϗ ὑπέρμεγα οὐ συ-
νεχώρει μοι πιϛεύειν τῷ γράμματι. δὶς οὖν
ϗ τρὶς τὴν ἐπιϛολὴν ἀναγνοὺς ϗ ὅλην κατα-
φιλήσας αὐτὴν ἐξανέϛην τῆς δάφνης· ϗ πα-
ρὰ τὴν τράπεζαν γεγονὼς, τὴν ὡς Ὑσμή-
νην παιδίσκην ἀτενέϛερον ἔβλεπον, ϗ ὅλην
περιεργαζόμην αὐτήν· ἡ δ', ἀντιβλέπουσα
τοὺς ὀφθαλμοὺς ἐπληροῦτο δακρύων· ϗ οὕτω
κατελύετο τὸ συμπόσιον, ϗ Κῆρυξ ὁ δεσπό-
της ἐμὸς σὺν δούλοις ἡμῖν ἐπὶ τὸ δωμάτιον
γέγονον· Ὑσμήνη δ' ὡς δούλη τῇ Ῥοδόπῃ
συνείπετο, ϗ οὕτως ἐπ' ἀλλήλων ᾠχόμεθα·
ϗ πάλιν πυκνοὶ συλλογισμοὶ τὴν ψυχήν μου
κατεμερίζοντο, ϗ πάλιν ἀναπτύξας τὸ γράμ-
μα κατὰ λάκαιναν κύνα, ϗ νοῦν ϗ λέξιν ἀ-

F 7 νώ-

νάρυττον, ϗ ὅλον κατιχνηλάτουν τὸ ἐπιστόλιον.

Ὁ μὲν οὖν δὴ Κῆρυξ ϗ δεσπότης ἐμὸς ἀνακεκλιμένος κλίνῃ λαμπρᾷ ϗ μαλακῶς ἐσταλμένῃ, ϗ ὅλος κατὰ Κήρυκα ὤν, ϗ μέχρι κλίνης αὐτῆς, τοῖς ὕπνοις ἐσπείσατο· ἐγὼ δὲ σὺν ὁμοδούλοις κατὰ δοῦλον ἀνακλιθεὶς κατὰ γῆν, τοῖς λογισμοῖς οὐ συνεχωρούμην ὑπνοῦν, ϗ ἦν μοι τὰ τῆς νυκτὸς ἡμέρα πρὸς ὕπνον ϗ γρήγορσιν. τῇ δ' ὑστεραίᾳ ὅλον ὁ Κῆρυξ περιθέμενος τὸ κηρύκιον ϗ ὅλος Κῆρυξ γενόμενος, ἐπὶ τὸ ἱερὸν ἐγένετο τῆς Ἀρτέμιδος· ἐγὼ δὲ περὶ τὸ δωμάτιον καταλέλειμαι ϗ τῇ πύλῃ παρακαθίσας, ϗ τὴν ἐπιστολὴν ἀναπτύξας, ὅλους τοῖς γράμμασι κατεπεπήγειν τοὺς ὀφθαλμούς, ϗ ὅλον τὸ γράμμα τοῖς δάκρυσιν ἔπλυνον.

Ἡ δὲ τοῦ Σωστράτου Ῥοδόπη περὶ τὸν κῆπον γενομένη (πρὸ γὰρ τῆς πύλης ἦν, ᾗ παρεκαθήμην αὐτός) καί με βρεχόμενον ἰδοῦσα τοῖς δάκρυσι, ϗ οἷον κατελεήσασα,

τί



τί πάσχεις τέκνον φησίν; ἐγὼ δ' οὐδὲν ἄλλο, δέσποινα, πρὸς αὐτήν, ἢ δοῦλος ἐξ ἐλευθέρου εἰμί, ϗ δούλιον ἦμαρ βλέπων, πάσχω κακῶς. ἡ δέ μοι ϗ γένος ἐζήτει μαθεῖν, ϗ πατρίδα, ϗ ὅπως δοῦλος ἐξ ἐλευθέρου γεγένημαι. κἀγὼ πρὸς αὐτήν· ἀλλὰ προτρέχει μου τοῦ λόγου τὸ δάκρυον, δέσποινα, ϗ κατεπικλύζει μου τὴν γλῶσσαν, ϗ κατακλυδωνίζει μου τὴν ψυχήν, ϗ ὅλην ἐπέχει μου τὴν φωνήν.

Εἰ γὰρ τὴν ἐν κακῷ τύχην ἐθέλεις ἰδεῖν, δοῦλος ἐν σώματί σοι παρίσταμαι ὅλον ἐνδεδυμένος τὸ δυστυχές, πρὸς ὅλην ἀπευκταίαν τύχην μεταπλασθείς, ϗ στήλη δυστυχίας γενόμενος. ἡ δέ γε Ῥοδόπη μᾶλλον ἐζήτει τὰ κατ' ἐμέ, ϗ οἷον κατεδυσώπει· ταῦτα μαθεῖν.

Κἀγὼ πρὸς αὐτήν· Εὐρύκωμίς μοι πατρίς, πατὴρ Θεμιστεύς, ϗ μήτηρ Διώτεια, τἆλλα μὲν εὐτυχεῖς πλὴν ἐμοῦ τούτου παιδός, ὃν Ἔρως ϗ Τύχη ϗ Ποσειδῶν ἐξ εὐ-

τυ-

τυχόντος δυστυχῆ, δοῦλον ἐξ ἐλευθέρου ϗ τρίδουλον ἐκ Κήρυκος φέρουσι.

Διασίων καιρὸς ϗ Κῆρυξ ἐγὼ, ϗ Κῆρυξ οὐκ ἐς τυχοῦσαν, ἀλλ' ἐς Αὐλίκωμιν· ὅπως μὲν οὖν μοι κατέπαιζε τὸ δαιμόνιον, λαμπρὰς μοι προπομπὰς ὑφαῖνον ϗ θριάμβους πολυτελεῖς, περιττὸν ἂν εἴη ϗ λέγειν. Κῆρυξ ἐς Αὐλίκωμιν ἥκω, ϗ Σωθένει φιλοφρονοῦμαι ἀνδρὶ τὰ πρῶτα τῶν ἐπ' Αὐλικώμιδι φέροντι.

Τῷδε ἦν παρθένος θυγάτηρ μαίευμα Χαρίτων, Ἀφροδίτης κεστὸς, δέλεαρ ἐρωτικὸν, ϗ παγὶς Ἔρωτος ἄφυκτος. ταύτῃ δὴ ταύτῃ τῇ θυγατρὶ τοῦ Σωθένους ὅλῃ συνανεκράθην ἐρωτικῶς, κἂν οὐδέν τι τῆς παρθενίας ἐλυμηνάμεθα· γάμον ἕτερον ὁ πατὴρ κηρύσσει τῆς θυγατρὸς, ὃν μηδὲ μέχρις αὐτῆς ἀκοῆς ἀνεχόμενοι, φεύγομεν, ϗ τὸν γάμον ὠνάμεθα· ναῦς ὑπηρετεῖ τῇ φυγῇ, ϗ Ποσειδῶν ἐν κλύδωνι ϗ χειρὶ κυβερνήτου τὴν καλὴν ἐκείνην παρθένον, ἀθλίων τούτων ἀφαρπάζει χειρῶν.

Ταῦ-



Ταῦτα εἶπον ϗ ὅλος ὀλιγωθεὶς τὴν ψυχὴν, ϗ ὅλος ἄφωνος γεγονὼς, κατὰ γῆν ἐλεεινῶς ἐπεπτώκειν, αἱ δὲ παρὰ τὴν Ῥοδόπην περιχυθεῖσαί μοι, ϗ ὅλον συχνοῦσαί με, ϗ παρὰ τὸ δωμάτιον ἀγαγοῦσαί με περὶ τὴν τοῦ δεσπότου κλίνην τοῦ Κήρυκος ἀνακλίνουσι· ϗ ἡ Ῥοδόπη τῇ κλίνῃ παρακαθήσασα, ἥπτετό μου τῶν χειρῶν, ἀπεμάσσετο μου τοὺς ἱδρῶτας, ἐδάκρυεν, ὅλον ἐκοινοῦτό μοι τὸ δυστύχημα, τὴν ψυχὴν ἀνεκτᾶτο μου, τὰς ῥῖνας μυρίζουσα ὑγρὰν μοι χεῖρα κατεπετίθει τῷ στέρνῳ, καί μοι τὸ περικάρδιον ἔψυχε, ϗ τέλος τὰς θεραπαινίδας σκορπίσασα, πλὴν τῆς ὡς παιδίσκης Ὑσμήνης, ϗ ὅλον συναγαγοῦσά με κατεφίλησε· ϗ φιλήσασα δακρύων ἐπληρώθη τοὺς ὀφθαλμοὺς· ϗ στενάζουσα βύθιον, ὦ τύχη, φησὶ, μεταπλάττουσα τὰν βίῳ, ϗ φύσεις ἀλλάττουσα.

Ὢ παῖ Διὸς τύραννε Ἔρως, ψυχὰς καματυραννῶν, τὸ ἐλεύθερον ἀφαιρούμενος, ϗ τὴν δουλείαν ἀντιδιδοὺς! καί μου τὴν κλῆσιν ἐ-

ζή-

ζήτει μαθεῖν· ἐγὼ δ' ἀλλ' ὦ δέσποινα, ϗ ταύτην τὸ δαιμόνιον προσαφῄρηται, οὐδὲ γὰρ οὐδ' αὐτῆς ἐφείσατό μου τῆς κλήσεως, ἀλλ' ὡς ἐξ ἐλευθέρων δοῦλον εἰργάσατο ϗ τὸ πικρὸν τῆς δουλείας τοῦ τῆς ἐλευθερίας ἀντιδέδωκε μέλιτος, ϗ σκότος φωτὸς ἀντεισήγαγεν· οὕτω ϗ κλήσεως ἑλληνικῆς, βαρβαρικήν μοι κλῆσιν ἀντεπιτέθηκεν· Ἀρτάκην ἀνθ' Ὑσμηνίου μετεκάλεσάν με· ϗ νῦν ὅλως δοῦλός εἰμι ϗ κλῆσιν, ϗ πρᾶγμα.

Ταῦτ' εἶπον· ϗ τὴν ὡς παιδίσκην ὁρῶ, ὅλην καταθρηνοῦσαν, ϗ ὅλην καταδακρύουσαν, ϗ ἡ Ῥοδόπη, τί πάσχεις παιδίσκη, φησί; ἡ δὲ, αὐτοκασίγνητός μοι, φησὶν, ὁ νεανίσκος, ὦ δέσποινα, ϗ περιπλακεῖσά με κατεφίλει, ὅλον με συνεπλέκετο· κἀγὼ δὲ ἀντεφίλουν περιπλακεὶς, Ὑσμήνη, λέγων, κασίγνητε! ἡ δ' αὐτοκασίγνητε! ϗ πάλιν ἐφίλει με.

Μόλις ἂν ἀλλήλων ἡμεῖς ἀπεπλάκημεν τὸ πλάσμα ποιούμενοι, ϗ ἡ Ῥοδόπη συνανε-

πλά



πλάκη μοι ϗ κατεφίλησε λέγουσα, φιλῶ σε τῆς στοργῆς, ϗ τῆς φιλαδελφίας ἀσπάζομαι· παιδίσκη δέ τις περὶ τὸ δωμάτιον γενομένη φησὶ, σὸς πατὴρ, δέσποινα, Σώστρατος, ϗ Κῆρυξ δεσπότης τοῦδε τἀνδρὸς ἐπανήκουσι τοῦ βωμοῦ. ἡ μὲν Ῥοδόπη περὶ τὸν κῆπον ἐγένετο τῆς ὡς ἐμῆς ἀδελφῆς Ὑσμήνης ϗ δούλης αὐτῆς ἑπομένης δουλοπρεπῶς· ἐκ δὲ τῆς κλίνης ἐγὼ κατὰ γῆν ϗ κατὰ λίθους, ὡς εἰκὸς κατακέκλιμαι· ἧκεν ὁ δεσπότης, ἀνέστην ἐγώ· ϗ ὁ μὲν, τὰ τῶν δεσποτῶν· ἐγὼ δὲ τὰ τῶν δούλων ὑπέχω.

Τράπεζα ϗ πάλιν πολυτελὴς, ϗ πάλιν ὁ δεσπότης ὁ Κῆρυξ ἐπὶ τὴν τράπεζαν, ϗ πάλιν ὑπὸ τὸν δεσπότην ὁ δοῦλος ἐγὼ, ϗ ὅλος ὑπὸ τὸν Κήρυκα. πάλιν ἡ Ῥοδόπη κιρνᾷ, πάλιν ἐγὼ τῇ δάφνῃ παρακαθίζω, ϗ χαίρω μὲν τὴν Ὑσμήνην ὡς Ὑσμήνην ὁρῶν, ἀλλ' ὀδυνῶμαι τὴν ψυχὴν, ϗ ὅλον πολιορκοῦμαι τὸν νοῦν· ϗ λογισμοῖς ποικίλοις καταμερίζομαι, οἷς μέσοις ἡ τοῦ Σωσθένους θυγάτηρ,

ἡ

ἡ τῆς Ῥοδόπης ἐκτύχης δούλη, κἀμοῦ δεσπότις ἐξ Ἔρωτος, ϗ νῦν ἐκ πλάσματος ἀδελφή· Ὑσμήνη τὸ φῶς μοι τῶν ὀφθαλμῶν, ἣν ἐμοὶ Ἔρως ἐδουλογράφησεν εἰς Ἀρτύκωμιν, ἥκει περὶ τὴν δάφνην, ἐγγύς μου παρακαθίζει, ἀνυποστόλως φιλεῖ, φιλοῦσα, γελᾷ, ϗ γελῶσα φησίν, ὡς ἀδελφόν σε φιλῶ, ϗ ὡς ἐραστὴν περιπλέκομαι. ἀλλ' οὐκ ἐμόν σοι τοῦτο τὸ φίλημα· οὐχῶς οὐχ ὡς ἐξ ἐρωμένης ἐμῆς πρὸς ἐμὸν ἐραστὴν, οὐδ' ὡς ἐξ ἀδελφῆς πρὸς κασίγνητον· ἐκ δὲ δούλης πρὸς δεσπότιδος ἐραστήν.

Ἐρᾷ σου Ῥοδόπη δεσπότις ἐμή· μαστρωπὸς ἐγὼ ϗ ἀποστολιμαῖον τὸ φίλημα· σὺ δέ μοι μὴ τύχαις ἀντιμετρήσαις τὸν ἔρωτα, μὴ τὴν ἐλευθερίαν μεταδιώκων τῷ τῆς ἐλευθέρας Ῥοδόπης ἔρωτι δουλωθῇς, μὴ ϗ δουλωθῇς τὴν ψυχὴν φεύγων δούλωσιν σώματος· μή μου τῆς σῆς Ὑσμήνης ἀποβουκολήσῃς τὸν ἔρωτα· εἰ γάρ μου τὸ τοῦ προσώπου κάλος ἐξαπεῤῥύη κατὰ ῥόδον Λοκρῶν, ἀλλά μοι τὸ τῆς

παρ-



παρθενίας κάλλος ἀμίαντον. κἂν δουλεύω τῷ σώματι, κατ' οὐδὲν τῆς ψυχῆς ἐλυμηνάμην τὸ ἐλεύθερον, εἰ δὲ ϗ δούλη διὰ σὲ, ϗ πρὸ δούλης αἰχμάλωτος, ϗ πρὸ τῆς βαρβάρων χειρὸς ἐξ ἐσφενδονήθην εἰς θάλασσαν οὐ τῆς ἐμῆς ἂν εἴη γλώττης ταῦτα λαλεῖν.

Ταῦτά μοι περιπαθῶς Ὑσμήνη σὺν δάκρυσιν. Ἐγὼ δὲ πρὸς αὐτὴν, Ὑσμήνη! ἐφίλησα ϗ φιλήσας ἐδάκρυσα, ϗ δακρύσας, Ὑσμήνη πάλιν! δοῦλος ἐγὼ διὰ σὲ, ϗ χαίρω κοινούμενός σοι τὸ δούλιον, ὅτι σοι ϗ τὸ ἐλευθέριον ἐκοινωνησάμην ἐρωτικῶς, ϗ δοῦλος σὺν Ὑσμήνῃ θανεῖν εὐξαίμην, ἢ μετὰ Ῥοδόπης ἐλεύθερος ἀθανατίζεσθαι· τίς δέ σε βυθοῦ ϗ θαλάσσης ἀνήγαγε; τίς σὲ περὶ ταυτηνὶ μετήγαγε τὴν Ἀρτύκωμιν; ἡ δ' οὐ τοῦ νῦν ἐστι ταῦτα καιροῦ· Ὑσμήνη δ' ἐγὼ ϗ ζῶσα, κἂν αἰχμάλωτος διὰ σὲ, ϗ δούλη νῦν ὡς ὁρᾷς. ἡ δέ μοι δεσπότις, κἂν δεσπότις ἐστιν, ἀλλ' ἔπαθεν ἐρωτικῶς, ϗ δούλη σοι πρὸς ἔρωτα γέγονε, καί μοι τὰ τοῦ πάθους

θυ-

θαῤῥεῖ, δούλης Ὑσμίνης τὸν ἀδελφὸν Ὑσμινίαν ἐρωτικῶς ζητοῦσα, ϗ δεσπότις οὖσα δουλεύει τοῖς ἔρωσι.

Ταῦτ᾽ εἶπε ϗ πάλιν ἐφίλει με, ϗ πάλιν οὐκ ἐμά σοι ταῦτα, φησὶ, τὰ φιλήματα, Ῥοδόπης δὲ τῆς ἐμῆς δεσποίνης, ᾗ δουλοπρεπῶς καθυπηρετῶ, ϗ δοκιμάζω σοι τὰ φιλήματα. κἀγὼ πρὸς αὐτὴν, ὄντως Ὑσμίνη μοι σὺ, καταφιλῶ σου τὰ χείλη κἂν ὁμοδούλης, κἂν ἀδελφῆς, κἂν ἐρωμένης ὦσι, ϗ φιλῶ τὰ φιλήματα, πλὴν οὐχ ὡς Ῥοδόπης φιλήματα, ἀλλ᾽ ὡς ταῦτα Ὑσμίνης, ἥν μοι Ζεὺς ἐμνηστεύσατο, ἣν βασιλεὺς Ἔρως παρέθετό μοι ταύτῃ τῇ δεξιᾷ, ἣν Ποσειδῶν ἀπεσπάσατο, ϗ πάλιν ἔρως νῦν ἀντιπαρατίθησι βασιλεύς· Ῥοδόπη δ᾽ ἐῤῥέτω ϗ Ῥοδόπης ἔρως, ϗ εἴ τινα παρθένον ἄλλην Ὑσμινίᾳ τούτῳ τῷ σῷ καταπαίζουσιν ἔρωτες. ἡ δέ μοι, φησί· κἂν μὴ φιλῇς, κἂν ἀπαναίνῃ τὸν Ἔρωτα, κἂν τὰς συνθήκας τηρῇς· ἀλλὰ πλάττου μοι τὸν φιλοῦντα, ϗ τὸν

ἐρα-



ἐραστὴν ὑποκρίνου μοι· ϗ ἴσως οὐκ εἰς κενὸν ἡμῖν οὐδ᾽ ἀσυντελῆ τὰ τοῦ πλάσματος· εἰ μὴ γὰρ οὐδὲν ἕτερον, ἀλλ᾽ ἀνυποστόλως ὡς δούλῃ συνομιλήσω σοι, ὡς ἀδελφῇ συμπλακήσομαι, ϗ ὡς μαστρωπὸς διακομίσω σοι τὰ φιλήματα.

Ἐγὼ δὲ πρὸς αὐτήν· ὡς οὐ καταψεύσομαί σου τὸν ἔρωτα, ϗ τὰς πολλὰς ἐκείνας συνθήκας ἀπαρεγχειρήτους παραφυλάξομαι, θεοὶ ἐπιμάρτυροι ἔστων, ἰδοὺ δὲ καθυπηρετῶ σου τῷ πλάσματι, ϗ τὸν ἀδελφὸν ὑποκρίνομαι, τὸν δὲ σὸν ἐραστὴν ἀποπλάττομαι, ϗ τὸν τῆς Ῥοδόπης ἐραστὴν καταπλάττομαι· σὺ δὲ διακόμιζέ μοι φιλήματα, ϗ εἴ τι τούτων ἐστὶν ἐρωτικώτερον ἕτερον· ἐγὼ δ᾽ ἐν σοῖς τούτοις χείλεσι ϗ ὅσοις ἄλλοις τρυγᾶται βότρυς ἐρωτικὸς, τὴν Ῥοδόπην φιλήσω, ϗ ὅλην ταύτην κατατρυγήσω τὴν ἄμπελον, ϗ τῆς σῆς ταύτης ἐμῆς Ὑσμίνης τὴν παρθενίαν φυλάττων ἀσύλητον, ϗ μέχρι φιλημάτων ἀπαρεγχείρητον. ϗ περιπλακεὶς, ϗ ὅλην τὴν Ὑσμίνην καταφιλῶν οὑτωσὶ ταῦτα

λέ-

λέγω δίδωμι τὰ φιλήματα, τῇ δὲ σῇ δεσποίνῃ Ῥοδόπῃ, τοῖς σοῖς μοι τούτοις χείλεσι μεταπέμπομαι· ἡ δ' ὥσπερ μετακομίζουσα τῆς δάφνης ἀπέδραμε ϗ περὶ τὴν Ῥοδόπην ἐγένετο, ϗ ἦν καταψυθιρίζουσα· κἀγὼ τῆς δάφνης ἀνέστην πρότερον καταμακαρίσας αὐτὴν, δάφνην ὀνομάζων ὄντως χρηστὴν, Ἀπόλλωνος σπέρμα, ὠδίνημα γῆς, μνήμην Ἀφροδίτης, ϗ παραμύθιον Ἔρωτος.

Ἡ μὲν οὖν Ῥοδόπη τὴν Ὑσμήνην εἶχε μέσον ὅρον πρὸς ἔρωτα, ϗ μέσῃ ταύτῃ συνάγειν ἐδόκει τὸν Ἔρωτα. ἐγὼ δ' ὅλον ὅρον ἔρωτα, εἶχον αὐτῆς, ϗ περὶ μέσην μου τὴν ψυχὴν τὸν τῆς Ὑσμήνης ὅλον συνήγαγον ἔρωτα· οὕτω μὲν οὖν μοι τὰ τῆς τραπέζης εἶχεν ἐρωτικῶς ϗ οὕτω κατελύετο τὸ συμπόσιον· ϗ Κῆρυξ μὲν ὁ δεσπότης ἐμὸς περὶ τὸ δωμάτιον γέγονε, ϗ ἦν ἀνακεκλιμένος, ϗ τοῖς ὕπνοις ὡς ἐκ πολυτελοῦς τραπέζης εὐθὺς κατεσπένδετο.

Ἐγὼ δὲ περὶ τὸν κῆπον ἐγεγόνειν, ϗ πάλιν

λιν



λιν Ὑσμήνη καθυπηρετεῖ τῇ δεσποίνῃ πρὸς ἔρωτα, ϗ πάλιν ἧκε περὶ τὸν τῆς δεσπότιδος ἐραστὴν, πάλιν τὸν ἀδελφὸν περιπλέκεται, πάλιν φιλεῖ, πάλιν μαστρωπεύει, πάλιν διακομίζει φιλήματα· ἐγὼ δὲ ἀντιφιλῶ, περιπλέκομαι, τὸν ἀδελφὸν ὑποκρίνομαι, τὸν τῆς Ῥοδόπης ἐραστὴν κατασχηματίζομαι, ϗ ἀντιπέμπω φιλήματα, τὴν Ὑσμήνην ὡς δούλην ὑπηρετοῦσαν ἔχω, ϗ ὅλον φανερῶς καθυποκλέπτω τὸν Ἔρωτα.

Ἡ δέ μοι φησὶν, ἐκ Ῥοδόπης δεσποίνης ἐμῆς τοῦτο σοι τὸ ἐπιστόλιον, ϗ τῇ χειρί μου παρέθετο. κἀγὼ πρὸς αὐτήν· Ὑσμήνη σὲ μόνην δεσπότιν ἐξ ἔρωτος κεκράτημαι· σῆς μόνης ἔρωτι τέτρωμαι, σῇ γραφίδι δουλογραφοῦμαι ϗ δοῦλος ἐξ Ἔρωτος γίνομαι, καί μοι τὸ δουλογραφεῖον γλυκύπικρον, ἀναπόνιπτόν σοι νίπτρῳ τὸ κηρύκιον ἀπονένιμαι, σοὶ τυχορύχῳ τὴν παρθενίαν ὅλην ἀποσεσύλημαι· ἑλεπόλει σοὶ τὴν πατρίδα σὺν αὐτοῖς τοκεῦσιν ἀφῄρημαι· τοίνυν αἰχμάλωτος

ϗ

καὶ δοῦλος νῦν ὡς ὁρᾷς, ἃ πάντα χαίρω παθὼν, ὅτι σὲ τὴν ἐμὴν Ὑσμήνην Ἔρως μοι πάλιν ἐξ Ἅδου καινῷ ἀνεσώσατο τρόπῳ, τὸν δέ γε πρὸς τὴν Ῥοδόπην ἔρωτα, καὶ μέχρι πλάσματος οἶμαι καὶ σκηνῆς· σοὶ γὰρ, Ὑσμήνη, μόνῃ καὶ χάρισι ταῖς ὅλαις ἐχαρισάμην τοὺς ὀφθαλμούς.

Ἡ δέ μοι, φησί· κἂν ἔρωτα γέμῃ σοι τὰ φιλήματα, κἂν ὡς σίμβλον φέρῃς τὸ στόμα, κἂν στάζῃ μοι μέλιτος· ἀλλ᾽ οὐ γλώσσῃ μόνῃ τὸν ἔρωτα γεύομαι, ὅτι καὶ κέρδος μισῶ ζημίας μοι πρόξενον· σὺ μὲν γὰρ ἐκ Κήρυκος κἀξ ἐλευθέρου δοῦλος καὶ δυστυχής· ὅτι δὲ δοῦλος καὶ δυστυχής, ὅτι δὲ δούλη κἀγὼ, τοῦτο πάντως ὁρᾷς· εἰ δ᾽ ἐξ ἐλευθέρων, εἰ δ᾽ ἐξ εὐτυχῶν, σῆς ἂν εἴη γλώττης τοῦτο λαλεῖν· Ῥοδόπη δὲ δεσπότις ἐμὴ, καὶ σώζειν δυναμένη καὶ τὴν ἐλευθερίαν ἀποχαρίσασθαι. κἀγὼ φημὶ πρὸς αὐτὴν, κἂν φύσει τὸ θῆλυ θερμότερον, κἂν φύσει τρεπτὸν, ἀλλὰ κατὰ τὴν τραγῳδίαν,





„ ὅταν εἰς εὐνὴν ἠδικημένην κυρῇ,
„ οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα,

ἡ δ᾽ ἀλλὰ μικρὸν ὑποσεσηρεῖα τὴν παρειὰν μακάριόν μοι, φησὶ, τὸ τῶν ἀνδρῶν ἄτρεπτον, καὶ πρὸς ἔρωτος θέρμην ψυχρότερον,

„ τί δή με λυπεῖ τοῦ θ᾽ ὅταν λόγῳ θανῶν,
„ ἔργοις δὲ σωθῶ κἀξενεγκῶμαι κλέος,

ταῦτα δὴ εἶπεν Ὑσμήνη περιπαθῶς, καὶ περιπλακεῖσά με κατεφίλησε, Ὑσμηνία λέγουσα, σῶσον Ὑσμήνην τὴν σὴν, καὶ πρὸ ταύτης σὲ τὸν ἐμὸν Ὑσμηνίαν· καὶ πάλιν ἐφίλει με, καὶ φιλοῦσα κατεδυσώπει με, πείσθητι, λέγουσα, καὶ τὸν ἐραστὴν ὑποκρίθητι· μή μοι δοκῇς ὑποκρίνεσθαι, τῷ μὴ θέλειν ὑποκρίνεσθαι τὸν ἔρωτα· πείθομαι τοίνυν καὶ ἀναπτύσσομαι τὸ ἐπιστόλιον, τό δ᾽ εἶχεν οὕτως.

# ΒΙΒΛΊΟΝ, Ι΄.

## Ῥοδόπη Παρθένος Σωϛράτȣ θυγάτηρ, Ὑσμηνίᾳ τῷ ἐραϛῇ χαίρειν.

„ Ὑσμηνία! ὡς μὲν εὐδαίμων ἐγὼ, ϗ πατρίδι,
„ ϗ γένει, ϗ τοῖς ἄλλοις ὅσοις θεωρεῖται τὸ
„ εὔδαιμον ἐκ πολλῶν ἔχεις μαθεῖν, μᾶλλον δὲ
„ αὐτά σοι παριϛῶσι τὰ πράγματα· ὡς δ᾽ ὅ-
„ λον τὸν τῆς παρθενίας θησαυρὸν ϗ μέ-
„ χρις αὐτῶν ὀφθαλμῶν ἐφυλαξάμην ἀπα-
„ ρεγχείρητον, Ἀρτέμιδός μοι πηγὴ ϗ τό-
„ ξον ἔλεγχός μοι σαφέϛατος· σὺ δὲ ϗ δȣ̃-
„ λος ὢν (ἀλλὰ μή μοι νεμέσα τῷ ῥήματι)
„ πηγαῖς Ἀφροδίτης ὅλην μȣ κατέκλυσας
„ τὴν ψυχὴν, ϗ βέλεσιν ἐρωτικοῖς κατετό-
„ ξευσας· κἂν γȣ̃ν παρθένος ἐγὼ, κἂν εὐ-
„ τυχὴς, κἂν περίδοξος, ἀλλὰ πάντα ταῦ-
„ τα σῆς φιλίας ἐρωτικῆς ἀνταλλάσομαι, ϗ

πα-



„ πατρίδος ταύτης ἐμῆς περιφανȣ̃ς Ἀρ-
„ τικώμιδος τὴν σὴν ἣν ȣ̓κ εἶδον Εὐρύκομιν· ἐ-
„ λευθερίαν σοι χαριζομένη ἐξ ἀδρȣ̃ βαλαν-
„ τίȣ ϗ χειρὸς ταύτης ἐμῆς, ἣ τὴν ἐπιϛο-
„ λὴν ἐγχαράττει σοι· Ὑσμήνην δὲ παιδί-
„ σκην ἐμὴν ϗ σὴν ἀδελφὴν ἐλευθερίαν ἔ-
„ χειν ἐκ τȣ́τȣ τȣ̃ γράμματος· ἔρρωσο τοῦ
„ τῆς Ῥοδόπης γάμον δȣλείας ἀνταλλασ-
„ σόμενος."

Οὕτω τοίνυν ἔχȣσαν ἀναγνȣ̀ς τὴν ἐπιϛολὴν πρὸς τὴν Ὑσμήνην φημί· ὅσα σοι δοκεῖ πρὸς χάριν Ῥοδόπης, εἰπεῖν ἐξ ἐμῆς ταύτης φάθι φωνῆς· εἰ δὲ ϗ φιλεῖσθαι ζητεῖ καταφίλησον, ϗ μετάθȣ φιλήματα, τῶν ὅσα τῶν ἐμῶν χειλέων τȣ́των ἔχεις πολλὰ ϛόματι παρατεθειμένα τῷ σῷ· εἰ δ᾽ ȣ̓ μόνοις ἀρκεῖται φιλήμασιν, ȣ̓δ᾽ ἐν χείλεσι παραμυθεῖται τὸν ἔρωτα, κατὰ δὲ τὰς τῶν φοινίκων θηλείας πτόρθον ἐξ ἄῤῥενος φοίνικος παρὰ μέσην αὐτὴν ζητεῖ τὴν ψυχὴν, καταπράξομαί σοι ϗ τȣ̃το τῇ Ῥοδόπῃ διαπεμπόμενος· ταῦτα πρὸς

τὴν

τὴν Ὑσμήνην ἐγώ· ϗ πάλιν περιπλακεὶς αὐτὴν κατεφίλησα· ϗ ἤμεν, περὶ τὴν Ῥοδόπην ἐξέδραμεν.

Ἐγὼ δὲ εἰσέδραμον περὶ τὸ δωμάτιον, ϗ δουλικῶς κατακλιθεὶς περὶ γῆν ἐσπεισάμην τοῖς ὕπνοις πεισθεὶς τῇ νυκτὶ, ϗ πάλιν καθ᾽ ὅλους αὐτοὺς τὴν Ὑσμήνην ἐδόκουν ὁρᾶν, ϗ ταύτῃ συνέπαιζον· ὥσπερ γὰρ νοῦς „ πεινῶντος ἄρτου, φαντάζεται, ϗ ὕδωρ ὄ„ νειροι τῷ διψῶντι· οὕτως ἐρώσῃ ψυχῇ „ πάντα πρὸς ἔρωτα μεταπλάττεται, ϗ „ λογισμοὶ ϗ τὰ καθ᾽ ὕπνους φαντάσματα· παρῆκεν ἡ νὺξ, ὕπνοι παρείποντο τῇ νυκτὶ, ϗ τοῖς ὕπνοις οἱ ὄνειροι· ϗ πάλιν ἧκε τὸ φῶς, ϗ τὸ γλυκὺ τῆς ἡμέρας ἐγέλασε.

Τῆς στρωμνῆς ἀνέστην ἐγὼ, παρὰ τὸν δεσπότην ἐγενόμην, ϗ ἤμην ὑπηρετῶν· ἐφίσταται Σώστρατος καί φησιν, ἰδοὺ σοι Κῆρυξ πᾶσα πόλις Ἀρτύκωμις πρὸ πυλῶν συνεκπλεῦσαι ζητοῦσά σοι πρὸς Δαφνήπολιν· σὺ δέ μοι περίδυθι τὸ κηρύκιον, ϗ ὅλος Κῆρυξ γε-





γενά· στεφανοῦται τὴν κεφαλὴν, ὁ Κῆρυξ, τῷ χιτῶνι ϗ τῷ πεδίλῳ κατακοσμεῖται, ϗ ὅλον περιθέμενος τὸ Κηρύκιον, ἔξεισι τοῦ δωτατίου· ϗ πάλιν ἡ πόλις ὀρθὴ, ϗ πάλιν ὀρχεῖται τὸ πλῆθος, ϗ τὸ προπεμπτήριον λαμπρὸν ὑφαίνει τῷ Κήρυκι· οἷον ϗ τὸ εἰσιτήριον πολυτελὲς προεξύφανε· ϗ ἵνα τὰν μέσῳ παρῶ τῆς νεὼς ἐπιβάντες, ἐκεῖθεν ἀπέβημεν, ϗ περὶ τὴν Δαφνήπολιν ἐγενόμεθα.

Ὁ μὲν οὖν δὴ Κῆρυξ ϗ δεσπότης ἐμὸς σὺν τοῖς ἐξ Ἀρτυκώμιδος συνεκπλεύσασιν ἐπὶ τῷ τοῦ Δαφνίου βωμῷ κατὰ τὸ εἰθισμένον τοῖς Κήρυξι γέγονεν· Ἐγὼ δὲ σὺν, ὅσοι τῷ Κήρυκι συνεξεπλεύσαμεν εἰς Ἀρτύκωμιν, περὶ τὴν οἰκίαν τοῦ δεσπότου γεγόναμεν· ϗ πάλιν ἡ δεσπότις ἐπ᾽ ἐμὲ τὸν δοῦλον οἰστρηλατουμένη, ϗ οἷον ἐκβεβακχευμένη τοῖς ἔρωσιν· ὅθεν ἀναιδῶς περιπλακεῖσά με φιλεῖν ἀπεμάχετο· ἐγὼ δ᾽ ὅλον ἐξ αἰδοῦς κατεκαλυψάμην τὸ πρόσωπον· ϗ ᾐσχυνόμην νὴ τοὺς Θεοὺς, ϗ τὴν κα-

κατατυραννοῦσάν μοι δέσποιναν, ϗ τὴν δούλην Ὑσμήνην, ϗ τὴν Σωφροσύνην αὐτήν· ἀλλ᾽ ἡ δεσπότις ἐφείλκετό με τοῦ χιτωνίου· ἐγὼ δ᾽ ὁ δοῦλος οὐ μεθειλκόμην ἑλκόμενος, ἀλλ᾽ ὅλος ἀντέτεινον, ϗ ἦν ἀγὼν παρὰ δεσποίνῃ ϗ δούλῳ καινός· ὁ μὲν γὰρ δὴ δοῦλος ἐγὼ τὴν σωφροσύνην ἐλευθέραν ἐφιλονείκουν τηρεῖν, ἡ δέ με δεσπότις κατεδουλοῦτο τοῖς ἔρωσι, ϗ ὅλον ἤθελεν ἀπεμπολῆσαι τὸ ἐλευθέριον· ἀλλά τις ἐπανήκεν ἐκ τοῦ βωμοῦ, ϗ φησιν, ὁ δεσπότης, ὦ δέσποινα· ϗ σὺν τῷ λόγῳ περὶ τὴν πύλην ὁ δεσπότης ἐγένετο, τῶν δὲ ταύτης χειρῶν, ὡς βαρβάρων ἀπηλλαττόμην αὐτός· ϗ τοῦ ἔπους ἐμνήσθην, ϗ τοῦτο προσφόρως κατετραγῴδησα λέγων, „ὦ πῶς ποτ᾽ ὦ δέσποινα ποτνία Κύπρι, βλέπουσα εἰς πρόσωπα „τῶν ξυνευνετῶν."

Ἧκεν ὁ Κῆρυξ, συνείπετο Σώστρατος, ϗ θυγάτηρ Σωστράτου τῇ τῆς Ὑσμήνης ἀνεχομένη χειρί· φιλοτιμωτάτη παρατίθεται τράπεζα, λαμπρῶς ὁ Κῆρυξ ϗ πολυτελῶς ἀνα-



ἀνακλίνεται, πρότερον ὅλον ἀποδυθεὶς τὸ κηρύκιον, ϗ ἡ δεσπότις ἀναιδῶς κατεφίλει τὸν Κήρυκα ϗ τούτῳ συνανεκλίνετο· ϗ Σώστρατος, ϗ Ῥοδόπη συνανεκλίνετο· ϗ ἦν τὸ δεῖπνον πολυτελές, ϗ δεσπόταις μὲν ἐμοῖς ϗ Σωστράτῳ τῷ τῆς Ῥοδόπης πατρί, δοῦλος Ὑσμηνίας ἐγὼ κιρνᾷν ἐγκελεύομαι, Ὑσμήνη δὲ τῇ Ῥοδόπῃ πρὸς πόσιν ὑπηρετεῖ, ἵνα μηδὲ μέχρι κύλικος ϗ χειρὸς τὸ σεμνὸν τῆς παρθενίας καταμολύνηται. οὕτως ἐρωτικῶς ἡμεῖς ἀνεκράθημεν, ϗ τὸ φίλιον ὅλον ἐκοινωσάμεθα ὡς κοινώσασθαι ϗ τὸ δούλιον, ϗ πρὸς ἓν καθυπηρετῆσαι λειτούργημα.

Ἡ μὲν οὖν ἐμὴ δεσπότις τοῖς Ἔρωσι δουλογραφηθεῖσα, τῇ κύλικί μοι προσέπαιζε ϗ κατέπαιζεν· ἢ μᾶλλον αὐτὴν ἐν ἐμοὶ ϗ κύλιξιν αὐταῖς κατέπαιζον Ἔρωτες· νῦν μὲν γὰρ ἐπέθλιβέ με τὸν δάκτυλον, νῦν δ᾽ ὅλην τὴν χεῖρα τῇ κύλικι συνεφείλκετο, ϗ ἄλλ᾽ ἄττα κατέπαιζεν, ἢ τοῖς Ἔρωσι κατεπαίζετο· ὧν δὴ πάντων ὡς ἐκ πυρὸς φεύγων αὐτὸς Ὑσμή-

νῃ τῇ συνοινοχοευούσῃ συνέπαιζον τῶν τῆς δεσποίνης παιγνίων τὰ τῆς δούλης ἀνταλλασσόμενος· οἷς ἡ Ῥοδόπη συνένευε ϗ τῇ δούλῃ παίζειν ἐπένευε, ϗ οἷον διὰ ταύτης ἐδόκει παίζειν αὐτῇ· πρὸς ἃ δὴ βλέπων αὐτὸς, τὴν Ῥοδόπην μᾶλλον δούλην εἶχον Ὑσμήνης, ὡς ϗ καθυπηρετοῦσαν πρὸς Ἔρωτα· ϗ οὕτως ἐν παιδαῖς, ἐν ἔρωσιν, ἐν πολυτελέσι τροφαῖς κατελύετο τὸ συμπόσιον, ϗ ἡμῖν ἐλύετο τὰ τοῦ λειτουργήματος.

Ἡ μὲν οὖν Ὑσμήνη τῇ Ῥοδόπῃ παρείπετο, ϗ ταύτῃ συνῴχετο, ϗ ἄμφω γεγόνασι περὶ τὸ δωμάτιον, ὃ τῷ Σωστράτῳ δεσπότης ἐμὸς ἀφωσίωσε λαμπρῶς ϗ πολυτελῶς διακοσμησάμενος· ἐγὼ δὲ σὺν ὁμοδούλων χορῷ παρὰ τὸ τῶν δούλων ἐγενόμην δωμάτιον, ϗ ἤμην συγκατακεκλιμένος τοῖς δούλοις, ϗ συνδειπνῶν ϗ τέλος ὑπνῶν.

Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς, Σώστρατος σὺν Ῥοδόπῃ ϗ δεσπόταις ἐμοῖς ἐπὶ τὸν βωμὸν διανυκτερεύουσιν· Ὑσμήνη δὲ κα-

γὼ



γῷ τοῖς δεσπόταις κατὰ δούλους ἑπόμενοι, σὺν αὐτοῖς δεσπόταις περὶ τὸν βωμὸν ϗ τρίποδα ϗ δάφνην γεγόναμεν· θροῦς ἦν ἐνδωμᾷ ϗ σύμμικτος βοὴ, ϗ ἄσημος θόρυβος ϗ θρῆνος ἦρτο ϗ κωκυτός· Θεμιστεὺς δέ μοι πατὴρ ϗ Σωσθένης Ὑσμήνης πατὴρ τῶν θρήνων ἐξάρχουσιν· αἱ δέ γε μητέρες ἡμῶν ϗ λίθον, ὅ φασι, τὸν ἀπὸ γραμμῆς κινοῦσι πρὸς δάκρυα· τί μὲν οὐ λέγουσαι τί δ᾽ οὐ πράττουσαι, τῶν ὅσα πρὸς οἶκτον ἐφέλκουσι, τῶν ὅσα κινοῦσι πρὸς ἔλεον; ἐλεειναὶ τὸ σχῆμα, τὴν γλῶσσαν, ἀλκύονος πολυπενθέστεραι, ἀηδόνος θρηνιτικώτεραι, αὐτῆς Νιόβης μιμούμεναι τὸ πολύδακρυ, πρὸς θρῆνον ἐρεθίζουσαι, ϗ ἄμφω νικῶσαι, ϗ ἄμφω νικώμεναι, ἄμφω διαῤῥήσσουσαι τὰς ἐσθῆτας, ἄμφω τὰς παρειὰς αὐλακίζουσαι, ἄμφω καταπαταγοῦσαι τὰ στέρνα, ἄμφω τὸν τῆς κεφαλῆς ἀποκειρόμεναι βόστρυχον πενθίμῳ κουρᾷ, ϗ ἄμφω κόνιν καταπαττόμεναι.

Ἡ μὲν γὰρ δὴ μήτηρ ἐμὴ, Ἄπολλον, Ἄ-



πολ-

πολλὸν, ἐβόα περιπαθῶς, οἷον κορυβαντιῶσα τοῖς θρήνοις, καὶ καταξεβακχευμένη τοῖς δάκρυσιν, ὀλόλυζεν, φοῖβ' Ἄπολλον, τοῦ παντός μοι γένους ἀπεκειράμην τὸν βότρυχον· λειμὼν μοι παῖς εὐανθὴς, καὶ φυτοκόμος ἐγώ· ἀλλ' ὅλον αὐτὸν σὺν αὐτοῖς φυτοῖς, σὺν αὐτοῖς ἄνθεσιν ἀπεσυλήθην ἐλεεινῶς! πηγή μοι στάζουσα μέλιτος ὁ καλὸς ἐκεῖνος μοι παῖς, ἣν ὅλην ἀφῄρημαι, καὶ ἄυος ὅλη γεγένημαι, καὶ ἀψινθίου σίμβλον εἰμὶ, ὅλη καταπικρανθεῖσα τῇ συμφορᾷ! εὐάγκαλός μοι λίαν Ὑσμηνίας ὁ παῖς, κἀγὼ δ' ὡς ναῦς ἐν λιμένι νηνεμίαν ἦγον, ἤμην ἀκύμαντος, νῦν δ' ὁ λιμὴν οὐδαμοῦ, κἀγὼ δ' ἡ ναῦς ἐν πελάγει μέσῳ κατακλυδωνιζομένη τοῖς κύμασιν! ἥλιον εἶχον τὸν παῖδα, καὶ νῦν τοῦ παιδὸς κρυβέντος ἀνήλιος ἡ μήτηρ ἐγὼ, καὶ κιμμερία τῆς ποτέ μοι πανηλίου πολυηράτου ἐκείνης Εὐρυκώμιδος ἀνταλλάσσομαι! ἀστήρ μοι παῖς ἐκεῖνος περιφανὴς, ἀλλ' ἀπεκρύβη, καὶ νὺξ ἀφεγγὴς τὴν μητέρα με κατεκάλυψε! φῶς ἦν μοι παῖς





ἐκεῖνος, ἀλλ' ἀπεσβέσθη, καὶ νῦν ἐν σκότει πορεύομαι! Ζεὺς σὸς πατὴρ, Ἄπολλον, δάφνῃ στεφανώσας αὐτὸν Κήρυκα πέμπει λαμπρὸν εἰς ὀλυμένην Αὐλίκωμιν· καὶ ἦν μοι τὸ μακάριον τῇ μητρὶ μέχρις ἐς αὐτὸν οὐρανὸν, νῦν δέ μοι τὸ δυστυχὲς μέχρις εἰς Ἄδου πύλας αὐτάς· φυγὰς ὁ Κῆρυξ, ὁ δεσπότης δραπέτης, ὁ παρθένος αἰχμάλωτος Ἔρωτος, καὶ ἐπὶ πᾶσιν ἄπαις ἐγὼ θρηνῶ τὸ παιδίον καὶ τὴν μητέρα μᾶλλον καταθρηνῶ!

Ἀλλ' ὦ παῖ, καὶ Κῆρυξ, καὶ δέσποτα, πῶς σε θρηνήσω; πῶς σε καταστεφανώσω τοῖς δάκρυσιν; ὡς νεκρὸν; ἀλλ' ἴσως Ζεὺς τῇ μητρί μοι ταύτῃ τῇ σῇ τὸν παῖδα ἐφυλάξατο, καὶ ζῇς μὲν ἴσως, ἀλλ' ἴσως αἰχμάλωτος, καὶ δουλεύεις βαρβάροις, ὁ φιλέλλην, ὁ Κῆρυξ, ὁ δεσπότης πολλῶν! ἀλλ' ὦ τρίπους καὶ δάφνη, καὶ ἐπὶ τούτοις Ἄπολλον χρησμῳδὲ! δέξαιο ταύτας χοὰς· καὶ ἐπὶ τούτοις καὶ πρὸ τούτων τὸ δάκρυον; καί γε τὰ παρὰ τὸν παῖδα μοι χρησμῳδότει, καὶ εἴη μοι τὸ χρησμῴδημα

μὴ ἀπευκταῖον ἀλλ' εὐκταιότατον! Ἄπολλον ἀρκεσεκόμην τὴν ἐμὴν ἐλεεινῶς κεκαρμένην ἐλέησον κεφαλήν! δάφνιε Ἄπολλον Ὑσμηνίου φεῖσαι παιδὸς σῆς Δάφνης ποτὲ λαμπρῶς περιεστεμμένου τὴν κεφαλὴν, ϗ νῦν τὴν ἐμὴν ταύτην οἰκτρὰν κεφαλὴν Ἅδου κυνέῃ κατακαλύπτοντος! Ταῦτα Διάντεια μήτηρ ἐμὴ ϗ λίαν ἐλεεινῶς κατετραγῴδει, ϗ κατὰ θάλασσαν κατεκυματοῦτο τοῖς δάκρυσι, ϗ ὅλον τὸ ἱερὸν κατεπέκλυζεν.

Ἡ δ' ἔγε τῆς ἐμῆς Ὑσμήνης μήτηρ Πανθία πικρὸν ἀπωδύρετο, οἴμοι τέκνον Ὑσμήνη λέγουσα συνεχῶς! ὤλωλάς μοι τούτων ἀθλίων χειρῶν· καί με τὴν σὴν μητέρα διώλεσας! ὡς ὄρνις εὔπτερος ἐπτερύξω καί μου τούτων ἐλεεινῶν ἀπέπτης χειρῶν· ἀλλ' ὦ πτερύξως ἐκείνης ἀγρίας, ἥ μου τὸν λύχνον ἀπέσβεσε! θάλαμός μοι σὺ ϗ χάλκεος παρθενών· ἀλλ' ὤμοι τέκνον Ὑσμήνη! σὺν αὐτῷ θαλάμῳ, σὺν αὐτῷ παρθενῶνι σὲ τὴν παρθένον ἀφήρημαι! ὑψίκομός μοι κυπάριττος

Ὑσμή-



Ὑσμήνη μοι σὺ, ἣν περὶ μέσην ἐμὴν ἐκηπευσάμην ψυχὴν, λιπαίνουσα δρόσῳ παρθενικῷ, ϗ τοῖς ἄλλοις καλοῖς, ἀλλ' ἐξ Εὐρυκώμιδος πνεύσας τυφῶν, ἀπέσπασε πρόρριζον! οὐ Κῆρυξ ἦν ἐκεῖνος, ἀλλ' ἄγριος θὴρ, ὃς τὴν ἐμὴν Ὑσμήνην ἐλεεινῶν τούτων χειρῶν, ϗ μέσων ἀφήρπασεν ἀγκαλῶν· ὅλον μου τὸ κειμήλιον ἀπεσύλησεν, ἐθέρισέ μου τὸν ἄσταχυν, τὸν βότρυν ἐτρύγησε, ϗ τὴν ῥοδωνιὰν ἀπηνθήσατο! στεφανίτης ἐκεῖνος ὁ θὴρ ἧκεν εἰς Αὐλικώμιδα, καί μου τὴν κεφαλὴν ἀφῆκεν ἀπερικόσμητον, ἀφελόμενός μου τὸν στέφανον! ὅλον παρθένον ἐσχηματίσατο, ϗ τὴν ἐμὴν παρθένον δολίως συνεφελκύσατο! βέλος ἔπεμψέ μοι κατὰ ψυχῆς, ϗ νῦν εἰς βάθος ὀδυνῶμαι τὰ σπλάγχνα! κηφὴν ἐξ Εὐρυκώμιδος ἀπηνὴς τὴν ἐμὴν ἀνεῖλεν Ὑσμήνην, τὴν γλυκεῖάν μοι μέλιτταν, καί μου τὴν ψυχὴν ὅλην ἀψινθίας ἐπλήρωσε! μέγας ἄγριος αὐτὸς τὰς ἐπὶ σοὶ θυσίας, θυγάτριον, ἐξ αὐτῶν μοι χειρῶν, ϗ μέσης πυρᾶς ἀνερείψατο, ϗ

ἦν μοι τὸ σημεῖον ἐκ ἀγαθὸν, ϗ νῦν εἰς ἔρ-
γον ἀπέβη τὰ τοῦ Διὸς οἰωνίσματα! πηγή
μοι γλυκάζουσα σὺ τὸ πικρόν μοι τοῦ γήρως
καταγλυκαίνουσα, ἀλλ' ὁ χετηγός τις ἐξ Εὐ-
ρυκώμιδος εἰς ἑτέραν ἀπάρχην μετάγει σε, ϗ
ἡ ψυχή μου διψᾷ σε, ϗ ὡς καλλίῤῥουν πηγὴν
ζητεῖ σε τὸ στόμα μου!

Ἀλλ' ὦ τέκνον Ὑσμήνη! πῶς σε θρηνή-
σω; πῶς ἐλεεινῶς ἀποκλαύσομαι; ὡς νεκρὰν;
ἀλλὰ πῆ τέθαψαι γῆς; τίς σε τάφος καλύ-
πτει, ϗ ὅλην τὴν τῶν χαρίτων κατακαλύπτει
πηγὴν; ἀλλ' ἐφείσατό σου τῆς νεότητος θά-
νατος; ϗ τίς ἔχει σε πόλις ἐθέλω μαθεῖν,
τὴν ἐμὴν Ὑσμήνην τὴν παρθένον, τὴν καλ-
λιπάρθενον; ἀλλ' ὁ τύραννος ἐκεῖνος, ἀλλ' ὁ
θρασὺς, ἀλλ' ὁ τὸ κηρύκιον καταπαίζων, ϗ
ὅλον κατεψευσμένος αὐτὸ, τὴν σὴν παρθε-
νίαν ἀποσεσύληκεν; ὢ δεινῆς ἀωρίας, ὢ δυστυ-
χίας ἐμῆς, ὢ φυλακῆς ἀφυλάκτου, ὢ δολίου θη-
ρὸς ἐκεῖνα δολίως κλέπτοντος, ϗ ἀγρίως ἀρ-
πάζοντος! ἀλλ' ὦ λαλοῦσα πηγὴ, ϗ προ-
μαν-



μαντι Δάφνη, ϗ Τρίπους, ϗ ἐπὶ πᾶσι φοῖβ' Ἄ-
πολλον, δέξαι ταύτας ἐμὰς χοὰς, ἃς σπέν-
δεταί σοι Πανθία μήτηρ ἀθλία ὑπὲρ Ὑσ-
μήνης ἀθλίας παιδός! ταῦθ' αἱ μητέρες πε-
ριπαθῶς ϗ λίαν ὀδυνηρῶς ἀπωδύροντο.

Οἱ δέ γε πατέρες ὀδυνηρότερον συνεπήχουν,
ϗ συνεκόπτοντο, ὦ παῖδες ὀλώλατε λέγοντες
ὑμῖν δ' ἡμεῖς συνολώλαμεν! Ἔρως ἐστράτευσε
καθ' ὑμῶν, ϗ τὰς ἡμῶν καρδίας ἐπολιόρκη-
σεν! Ἔρως τὴν ἐν ὑμῖν πορφύραν τῆς παρ-
θενίας ἐσύλησε, ϗ κατὰ κόχλον ἡμεῖς ἀπερ-
ράχθημεν! Ἔρως τὴν ὑμετέραν ῥοδωνιὰν ἀπην-
θήσατο, ϗ τὰς ἡμετέρας ψυχὰς ὅλας ἐνέ-
πρησε καθ' αἱμασιάν! Ἔρως ἀφροδισίῳ πυρὶ
τὴν τῆς νεότητος θέρμην ὑμῶν ἐξεπύρωσε,
ϗ γηραιὰ σπλάγχνα πατέρων ἡμῶν εἰς βά-
θος κατέκαυσε, ϗ ἡμᾶς ἀπηνθράκωσεν! Ἔ-
ρως ὁ Διὸς παῖς ἐκστρατεύει κατὰ τοῦ πα-
τρὸς ἐν μέσῃ πανηγύρει Διὸς, ἐν μέσῃ τε-
λετῇ ϗ Διασίοις αὐτοῖς, ϗ λάφυρον ἀρπάζει
τὸν Κήρυκα, τὴν παρθενίαν ληΐζεται, ϗ ὅλον


τὸν

τὸν παρθενῶνα πολιορκεῖ, ϗ τὰς ἡμετέρας ὅλας κατασκυλεύει ψυχὰς! ἐκ Δάφνης ταύτης, Ἄπολλον, Δάφνης τῆς σῆς παίδων ἡμῶν κατεστεφανώσαμεν κεφαλὰς, ἀλλ' Ἔρως ταύτας ἀπεστεφάνωσε, ϗ σποδῷ τῶν πατέρων ἡμῶν κατεστεφάνωσε κεφαλάς! Ἄπολλον, Ἄπολλον! τὴν ἡμετέραν ταύτην ἐλέησον πολιὰν, ϗ τῷ πατρὶ συμμετάσχου κατὰ πατραλοίου παιδὸς· δέξαι ταύτας οἰκετηρίους χοὰς, ἃς σπένδονταί σοι πατέρες ὑπὲρ παίδων ὀλλυμένων οἰκτρῶς ἐν ἔαρος ἀκμῇ, ἐν ἀτρυγήτῳ λειμῶνι ϗ μέσῃ νεότητι! ταῦθ' οἱ πατέρες, ταῦθ' αἱ μητέρες ἡμῶν.

Τὸ δέ γε παρεστὼς ἅπαν ἤλγεσε τὴν ψυχὴν, δακρύων ἐμεστώθη τοὺς ὀφθαλμοὺς, ἐκώκυσεν ὀλολύγιον· ἐγὼ δὲ περὶ τὴν Ὑσμήνην ἐλθὼν, μεθειλκυσάμην αὐτὴν τῆς χειρὸς, Ὑσμήνη, λέγων, ὁρᾷς; ἡ δὲ, ἀλλ' οὐ περιπτυσσόμεθα τὰς μητέρας φησίν; ἐγὼ δὲ, ἀλλ' ἐπίσχες, εἶπον, ἐγκαρτερήσωμεν τῷ χρησμῷ, ϗ δὴ καγχλάζει τὸ ὕδωρ, ὁ τρίπους





ἠχεῖ, δάφνη μαντικὴ κατασείεται, ϗ οἷον ὅλη κατανεμοῦσθαι δοκεῖ· ἐνθεσιῶσιν οἱ πρόσπολοι, ϗ Φοῖβος μαντεύεται, ϗ χρησμῳδεῖ ϗ φοιβάζει τὰ μέλλοντα, ϗ ἦν ὁ χρησμὸς τοὺς παῖδας ἡμᾶς τοῖς τοκεῦσιν ἀποδιδοὺς, ϗ κατεπισκήπτων τὸν γάμον· πρὸς ὃ δὴ φρίσσει τὸ παρεστὸς· αἱ μητέρες θρηνοῦσιν ἐξ ἡδονῆς, οἱ πατέρες ὀρχοῦνται πρὸ τοῦ βωμοῦ, ϗ ἡμεῖς ταῖς χερσὶν ἀλλήλοις συνδούμενοι πρὸ τῶν τοῦ Φοίβου ποδῶν κυλινδούμεθα. περιτρέχουσιν ἡμᾶς αἱ μητέρες, ἁρπάζουσι, συμπλέκονται, φιλοῦσι, θρηνοῦσι, ϗ συνέχουσιν ἀναπόσπαστα, μεθέλκονται τοὺς παῖδας ἡμᾶς. οἱ πατέρες ἑτέρωθεν ὅλην ἡμῖν συμμεριζόμενοι τὴν ψυχὴν, παιανίζουσι χαριστήρια, ὑμνοῦσιν εὐχαριστήρια, κροτοῦσι σωτήρια· χαίρει τὸ πλῆθος, εὐλογεῖ τὸν Ἀπόλλωνα, ϗ τῆς δάφνης ἡμεῖς στεφανούμεθα.

Κῆρυξ δὲ ὁ ποτὲ δεσπότης ἐμὸς, ϗ Σώστρατος Ῥοδόπης πατὴρ ἡμῖν ἐπιτίθενται·

ἐρρήτσουσι τοὺς στεφάνους, ἀφειδοῦσι τὴν γλῶτ-
ταν προπέμπουσιν, ἀπαίσια κινοῦσιν αὐτήν,
τὸν ἱερέα κακολογοῦσι, καὶ δημηγοροῦσι τὰ
καθ' ἡμᾶς, ὡς ἐκ βαρβαρικῶν χειρῶν ἡμᾶς
ἀπεσπάσαντο νόμῳ στρατιωτικῷ δουλογρα-
φηθέντας αὐτοῖς. ὁ δέγε στεφανῶν ἡμᾶς ἱε-
ρεὺς φησὶ πρὸς αὐτούς· εὖγε τῆς νομοθε-
σίας ὑμῶν, ς δουλαγωγεῖται τοὺς Ἕλληνας!
Ὑπέρευγε τῆς εὐσεβείας ὡς δουλογραφεῖται
τοὺς Κήρυκας! Ἀπόλλων χρησμοδοτεῖ, καὶ
τοῖς ἐλευθέροις ἀφοσιοῦται τὸ ἐλεύθερον, οἷς
νόμος Ἑλλήνων πρότερον, καὶ φύσις αὐτὴ τὴν
ἐλευθερίαν ἀπεχαρίσατο, ἀντιχρησμοδοτεῖτε
δ' ὑμεῖς, ἀντινομοθετεῖτε τοὺς ἐλευθέρους κα-
ταδουλούμενοι; οἱ δὲ, οὐχ ὑμεῖς, φασὶν, ἀντι-
νομοθετοῦμεν, ἀλλ' αἰχμὴ καὶ νόμος οὗτος ἐδου-
λογράφησε τούτους στρατιωτικός· καὶ δὴ μεθεῖλ-
κον ἡμᾶς· ἡμεῖς δ' οὐκ ἀπεσπώμεθα τῶν τοῦ
Φοίβου ποδῶν, καὶ πάλιν αἱ μητέρες ἐθρή-
νουν, οἱ πατέρες κατεδυσώπουν καὶ γλώσσῃ,
καὶ δάκρυσι, καὶ ὁ ἱερεὺς ταῖς χερσὶν ἀπεμά-

χε-



χετο, καὶ πείθειν οὐκ ἔχων, ἀπεστεφανώθη τὴν
κεφαλὴν, ἀπεδύσατο τὸν χιτῶνα, καὶ τὴν ἀρ-
βύλην ἀπέθετο, καὶ ἀναβὰς ἐπὶ ὀκρύβαντος
στεντόρειον πρὸς τὸ πλῆθος φησί.

Τί μάτην ὁ πολὺς ἄνος ἐπὶ τὸν τοῦ δα-
„ φνίου συντρέχεις βωμόν; καὶ δυσωπεῖς τὸν
„ ἑκηβόλον χρησμῳδοτεῖν, ἔχεις τοὺς σεμνοὺς
„ σοῦ τούτους νομοθέτας χρησμῳδοτήσαν-
„ τας; ἅλις σοι τῶν χρησμῳδοτημάτων ὦ
„ Φοῖβ' Ἄπολλον. ἅλις σοι τῶν προμαντευ-
„ μάτων ἅλις σοι τῶν στεφανωμάτων."

Πρὸς ἅδη καταθορυβηθὲν τὸ πλῆθος, θρα-
σύνεται κατὰ τῶν ἁρπαζόντων ἡμᾶς· οἱ δ' εὐ-
θὺς τῶν τοῦ Φοίβου ποδῶν σὺν ἡμῖν ἐφάπτον-
ται, ὡς τὸν περὶ ψυχῆς τρέχοντες, κατα-
δυσωποῦσι τὸν ἱερέα, ἱλάσκονται τὸν Ἀπόλ-
λωνα, σύγγνωθι, λέγοντες, Ἄπολλον, καὶ
φρενὸς καὶ γλώσσης ἡμῖν! ἡμᾶς δ' ἐλευθέρους
ἀνακηρύττουσι, τὰς ἑαυτῶν ἐλευθερῶσαι ζη-
τοῦντες ψυχάς.

Στεφανούμεθα πάλιν ἡμεῖς, ἐλευθερίαν ἐ-

 π-

[illegible]ρόμεθα, ϗ τοῖς τοκεῦσιν ἀποδιδόμεθα· οἱ δ' ὅλοι πληρωθέντες ἡδονῆς ϗ χαρᾶς, ὥσπερ θύουσιν ὡς ἐπὶ ἀνκαθεῖσι παισὶν, ᾄδουσιν ἀναγώγια, ϗ χορεύουσιν ἐπινίκια· συνορχούμεθα τούτοις ἡμεῖς, ϗ παιανίζοντες ἐλευθέριον ἥλικον, οἷον ἐράσμιον καλεῖ, ϗ δείπνου καιρὸς, ϗ τῷ ἱερεῖ ξενιζόμεθα, ϗ ἦν τὸ δεῖπνον φιλοτιμώτατον.

Ἡ μὲν οὖν Ὑσμήνη τοὺς ὀφθαλμοὺς αὐτῆς ἐξ αἰδοῦς ἀφῆκε τῇ γῇ, ϗ ταῖς τροφαῖς οὐ προσανεῖχεν, οὐδὲ μέχρις αὐτῶν· ἐγὼ δ' ὥς τις ὀλυμπιονίκης ἐξ ἡδονῆς ϗ χαρᾶς, τοὺς ὀφθαλμοὺς μὲν ϗ χεῖρας εἶχον ἐπὶ τὴν τράπεζαν, στόμα δὲ ϗ λαιμὸν ἐχαριστάμην τοῖς βρώμασι, ϗ ὅλῳ τῷ νῷ τὸν γάμον ἐνοπτριζόμην αὐτόν.

Μετὰ γοῦν δὴ ϗ ποικίλας ϗ πολυτελεῖς τὰς τρυφὰς, ὁ ἱερεὺς ἀναστὰς τῆς τραπέζης, ϗ τὸν χιτῶνα διαζωσάμενος, ϗ γυμνώσας τὼ χεῖρε πρὸς πόσιν ἡμῖν ὑπηρέτησε, τοῦτο πόμα, λέγων, σωτῆρος Ἀπόλλωνος. πί-

νου-



νουσι μὲν οὖν οἱ πατέρες ἡμῶν, ϗ μετ' αὐτις αἱ μητέρες, χάριν σοι λέγοντες, Ἄπολλον τῆς καλῆς ταύτης παρακαταθήκης, ἣν παρακατέθου τοὺς παῖδας ἡμῶν. ϗ μετ' αὐτὰς ἡμῖν ἐκοινωνήσατο τὸ ποτήριον, Ἀπόλλων, λέγων, ἡμῖν κοινοῦται τὸ πόμα, ὃς ϗ τὸν γάμον ἐπισκήπτει χρησμῳδοτῶν· δωρεῖται τὸ ἐλευθέριον, ϗ ὅλον κοινοῦται τὸ ζώσιμον.

Ταῦτ' εἰπὼν συνανεκλίθη, ϗ πάλιν ἡμῖν φησιν, Ὑσμηνία νυμφίε· ταύτην γάρ σοι τὴν κλῆσιν Ἀπόλλων φοιβάζων ἀπεχαρίσατο, μὴ φείσῃ λέγων τὰ καθ' ὑμᾶς ἀρχῆς ἀπ' ἄκρης ϗ μέχρις ἄκρης αὐτῆς. ἐγὼ δὲ πρὸς αὐτὸν, ὅλως μοι ἀνάπτεις κρατῆρας πυρὸς, ϗ μυρμηκιάν σοι τραγῳδημάτων ἀναστομοῖς. ὁ δὲ, ἀλλὰ μὴ φείσῃ μοι, φησὶ, πρὸς Ἀπόλλωνος μηδενὸς, πρὸς ἐλευθερίας αὐτῆς ϗ νυμφῶνος, ὃν σοι λαμπρὸν Ἀπόλλων ἐνυμφοστόλησεν. ἐγὼ δὲ πρὸς αὐτὸν, σύγγνωθι δέσποτα, ὅλην γὰρ ἐξ αἰδοῦς κατατεθορυβημένος εἰμὶ τὴν ψυχὴν· ϗ ὅλος τεταραγμέ-

νος,

νος τὸν νοῦν, ἐς νέωτά σοι δὲ τὰ τῆς διηγήσεως ταμιεύσομαι.

Πείθω τὸν ἱερέα, ϗ λύεται τὸ συμπόσιον, ϗ ἡμεῖς γινόμεθα παρὰ τὰ δωμάτια, Θεμιστεῖ γάρ μοι πατρὶ, ϗ μητρὶ Διαντείᾳ κἀμοὶ δωμάτιον ἓν ὁ ἱερεὺς ἀφωσίωσε, ϗ κλίνας τρεῖς παρὰ τοῦτο λαμπρὰς ὑπεστρώσατο, αἷς ἡμεῖς ἀνακλιθέντες πρὸς ὕπνον ἐτράπημεν· Σωσθένει δὲ, ϗ Πανθίᾳ, ϗ τῇ τούτων Ὑσμίνῃ θυγατρὶ δωμάτιον ἕτερον· ϗ οὕτως ἡμεῖς ἀπ' ἀλλήλων γενόμενοι τὴν νύκτα παρεμετρήσαμεν.





# ΒΙΒΛΙΟΝ, ΙΑ'.

Τῇ δ' ὑστεραίᾳ πάλιν ἐπὶ τὸν βωμὸν γενόμενοι δάφναις ἐστεφανωμένοι τὰς κεφαλὰς ἐπανηγυρίζομεν ἐλευθέρια, ἐπαιανίζομεν ἐπινίκια, ἐπεκροτοῦμεν σωτήρια, ὅλας ἑκατόμβας Ἀπόλλωνι θύοντες· τὸ δέ γε πλῆθος, ὅσον εἶχεν οὐκ εὐαρίθμητον ὁ βωμὸς, πρὸς ἡμᾶς εἶχε τοὺς ὀφθαλμοὺς, ϗ τοῖς δακτύλοις παρεσημαίνετο, ϗ ἦν τὸ καθ' Ὑσμίνην ϗ Ὑσμινίαν ἡμᾶς ἀνὰ πᾶσαν γλῶσσαν διήγημα κείμενον· ϗ ἦν Ἀπόλλων ἐφ' ἡμῖν εὐλογούμενος.

Πάλιν οὖν ἄριστον καιρὸς, ϗ πάλιν δεῖπνον ὁ ἱερεὺς λαμπρὸν ἑτοιμάζεται, ϗ πάλιν ἡμᾶς φιλοφρονεῖται πολυτελῶς· ἐπεὶ δὲ πέρας εἶχε τὰ τῆς τραπέζης, ὁ τὸ δεῖπνον ἑτοιμασάμενος ἱερεὺς, τὰ καθ' ἡμᾶς ϗ πά-

λιν ζητεῖ μαθεῖν, καὶ ἣν ἀμεταθέτως ἐγγείμενος. ἐγὼ δ' ἀλλὰ κἂν ᾐσχυνόμην, κἂν ὤκνουν, κἂν ἔφριττον, ἀλλ' ἄκων ἀπεδυσάμην πρὸς διήγησιν, καὶ ἡ φωνή μου ἀπέλειπε, καὶ ἡ γλῶσσα ἐπείχετο· ἄρχομαι δ' ὅμως λεπτῇ τῇ φωνῇ.

Πατὴρ μέν μοι Θεμιστεὺς οὗτος, καὶ μήτηρ Διάντεια, οὓς σὺ ξενίζεις φιλοτιμότατα· πόλις δ' Εὐρύκωμίς μοι πατρίς, παρ' ᾗ βωμὸς ξενίου Διὸς, καὶ τελετὴ τὰ Διάσεια· καὶ Κῆρυξ ἐγὼ κληρούμενος τὸ κηρύκειον, καὶ Κῆρυξ οὐκ ἐς τυχοῦσαν, ἀλλ' εἰς Αὐλίκωμιν· στεφανοῦμαι τῆς δάφνης, ἥκω παρὰ τὴν κληρωθεῖσάν μοι πάντως πολυτελῶς· ὅτι καὶ Διὸς τὸ κηρύκιον καὶ Διασείων Κῆρυξ ἐγώ· τῷ Σωσθένει ξενίζομαι τουτῳΐ, πολυτελῶς ὑποδέχομαι, φιλοφρονοῦμαι λαμπρῶς· εἰσάγει γάρ με περὶ τὸν κῆπον, ἐν μέσῳ τούτῳ τὰ τῆς τραπέζης μοι παρατίθεται, ἐγγύς μοι τοῦ λειμῶνος τὰ τῆς στρωμνῆς ἑτοιμάζεται, Ὑσμίνη ταύτῃ τῇ θυγατρὶ Σωσθένης οὗτος ὁ

ταύ-



ταύτης πατὴρ οἰνοχοεῖν ἐγκελεύεται· ἡ δ', οἰνοχοεύει τῷ πατρὶ πειθομένη. τέλος εἶχε τὰ τῆς τραπέζης, καὶ νίπτει μου τοὺς πόδας Ὑσμίνη, παρθένους πόδας παρθένοις χερσίν. ἀνακλίνομαι τῇ στρωμνῇ κατὰ παρθένον, ἀλέτως τοῖς ὕπνοις σπενδόμενος, ἀνίσταμαι μεθ' ἡμέραν. γίνομαι περὶ τὸν κῆπον, θαυμάζω τοῦτον τῆς τῶν φυτῶν συστοιχίας, καὶ τῶν ἄλλων καλῶν· παρὰ τὸ τοῦ κήπου θριγγίον μετάγω τοὺς ὀφθαλμοὺς, καὶ μετὰ δή τινας γραφὰς, θρόνον χρυσοῦν γεγραμμένον ὁρῶ, μειράκιον ἐπὶ τῷ θρόνῳ γυμνὸν, ὁπλοφόρον, πυρφόρον, τὼ πόδε πτερωτὸν, καὶ χαρίεν τὸ πρόσωπον.

Τούτῳ δὴ τῷ μειρακίῳ δουλοπρεπῶς παρεστήκεισαν βασιλεῖς, δυνάσται, καὶ τύραννοι· θῆρες, καὶ θηρῶν βασιλεῖς, ἅπαν γένος πτηνῶν, ἅπαν γένος θαλάσσης, καὶ φασματώδεις· δύο γυναῖκές τινες ὑπὲρ γυναῖκες τὸ μῆκος, τὴν Ῥυτίδα πέμπελοι καὶ τριπέμπελοι· ἡ μὲν, λευκὴ τὰ πάντα, τὸ πρόσωπον,

τὴν

τὴν τρίχα, ϗ τὸ χιτώνιον, χεῖρας ϗ πόδας, ϗ τἄλλα τοῦ σώματος· ἡ δὲ, τὰ πάντα μέλαινα, τὴν ὄψιν, τὰς χεῖρας, ϗ μέχρι ποδῶν ἐκ κεφαλῆς, ϗ μέχρις ὀνύχων αὐτῶν· ἤδη κατεθορυβήθην ἰδὼν, ϗ νοῦ πλάσμα, ϗ τέχνης ζωγράφου, τὴν καινὴν ταύτην ἐλογιζόμην γραφήν· ἀλλ' ἦν ὑπὲρ τὴν μειρακίου κεφαλὴν ἰαμβεῖα, Ἔρωτα λέγοντα εἶναι τὸν γεγραμμένον, τὸν ἐπὶ τοῦ δίφρου καθήμενον, πάντων κρατοῦντα βασιλικῶς· ἐγὼ δὲ οὐ μόνον ἐκαινολόγησα τὴν γραφὴν, ἀλλὰ ϗ πρὸς αὐτὸν τὸν Ἔρωτα σωφρόνως ἀπέσκωψα. ὁ δ' ἐφίσταται διὰ νυκτὸς ὑπνουμένῳ μοι, ϗ τὰ μεθ' ἡμέραν κατονειδίζει με, ϗ τέλος ἐμπίπτει μου τῇ ψυχῇ, ϗ συνδουλογραφεῖ με τοῖς δούλοις αὐτοῦ, ἀντὶ Κήρυκος, ἀντὶ παρθένου πρὸς ὅλον ἐραστὴν μεταπλάττων με· ϗ τῇ χειρί μου ταύτῃ τῇ δεξιᾷ τὴν Ὑσμήνην μοι ταυτηνὶ παραθεὶς, ἀπέπτη μου τῶν ὀφθαλμῶν, συμμεθελκυσάμενος ϗ τοὺς ὕπνους ϗ τὴν παρθενίαν, ϗ



τὸ κηρύκιον· ϗ ἤμην ἐραστὴς ὁ Κηρὺξ, ϗ ὁ παρθένος ἀπάρθενος· ὅλην κατεπίνον τὴν Ὑσμήνην, ϗ ὀφθαλμοῖς ϗ γλώσσῃ. ϗ νεύμασι· μεταπλάττω ϗ ταύτην εἰς Ἔρωτα, ϗ ὅπως ἐξ Αὐλικώμιδος [illegible] Εὐρύκωμιν, ὅλῳ τῷ τῆς Ὑσμήνης δουλογραφούμενος ἔρωτι· ἡ δ' ἀλλ' οὐδ' αὐτὴ ϗ πῦρ ϗ πτερὸν ϗ τόξον ἐξέφυγεν Ἔρωτος, ϗ γλῶσσαν ἐμὴν πιθανολογοῦσαν, ὅσα παιδεύουσιν Ἔρωτες.

Ἥρων οὖν Ὑσμήνης· εἰδ' ἀντερώμην αὐτὴ λεγέτω· ϗ τὸν γάμον ἀλλήλοις ἐμνηστευόμεθα, ὃν κλέψαι θέλων αὐτὸς (εἰρήσθω γὰρ τ' ἀληθὲς) οὐ συνεχωρούμην τῇ κόρῃ. Σωσθένης οὖν ὁ ταύτης πατὴρ ἐν μέσῃ τραπέζῃ ϗ δείπνῳ πολυτελεῖ γάμον ἕτερον κηρύσσει τῆς θυγατρός· ὃν ζητοῦμεν φυγεῖν, ϗ τῇ φυγῇ καθυπηρετεῖ Κρατισθένης ϗ ναῦς, ἧς ἐπιβάντες, τῆς ἐμῆς ἀπεξῆμεν Εὐρυκώμιδος, εὐφόρου τυγχάνομεν πνεύματος, ϗ χαίρομεν φεύγοντες, ἀλλὰ κυκᾷ τὴν θάλασσαν

Πο-

Ποσειδῶν· ἴσα ϗ ὄρεσιν ἐγείρει τὰ κύματα, τὴν ναῦν καταδῦσαι φιλονεικεῖ· λύτρον ὁ κυβερνήτης τεθῆναι νομοθετεῖ· κληρούμεθα τοῦτο, ϗ ἦν ὁ κλῆρος ἐπὶ τὴν Ὑσμίνην πεσών. ἐκ σφενδονᾶται τοίνυν ἐπὶ τὴν θάλασσαν, ϗ νηνεμίαν εὐθὺς τῇ θαλάσσῃ χαρίζεται. τὸ δ' ἐφεξῆς ἀναβιῶσαι αὐτὴν ὁρῶ, πῶς δέ; οὐκ οἶδα νὴ τὸ φρικτὸν ἐκεῖνο κλυδώνιον· νὴ τὸν Ποσειδῶνα, ϗ τὴν πικρὰν ἐκείνην δουλείαν· νὴ τὴν Ἀπόλλωνα ϗ τὸ τῆς ἐλευθερίας γλυκύ. ἐγὼ δ' ὅλην τὴν ναῦν κατεκύκων τοῖς ὀδυρμοῖς ϗ τοῖς δάκρυσι κατεπέκλυζον, ὃ μὴ φέρων ὁ κυβερνήτης, μηδ' ὅλον τὸ ναυτικόν, μετάγουσι παρὰ τὴν ψάμμον τὸ σκάφος, καί με τῆς νεὼς ἀποτίθενται· κἀγὼ δ' ὡς κενηρίῳ τῇ ψάμμῳ τὰς τῶν δακρύων χοὰς κατεσπενδόμην τῇ κόρῃ, ϗ τριήρης αἴφνης ἐφίσταται πλήρης βαρβάρων ἀγρίων ἀνδρῶν, οἳ κατὰ θῆρας ἀπηνῶς μοι κατεπετίθενται, ἀγρίως αὐτῶν ἐφέλκοντες τῶν τριχῶν, εἰσάγουσι παρὰ τῇ τριή-

ρει,



ρει, ϗ τῇ κώπῃ παρακαθίζουσι. ϗ μετὰ δεῖπνον ἀπαίρουσι, ϗ ἐπιτίθενταί τινι πολίχνίῳ, ϗ τοῦτο καταληΐζονται, ϗ σκύλων πληροῦσι τὴν ναῦν.

Τοὺς μὲν οὖν νεανίσκους ταῖς κώπαις παρακαθίζουσι, τοὺς δ' ὑπεραναβεβηκότας αὐτοὺς ἔργον μαχαίρας τεθείκασι, ϗ τῇ θαλάσσῃ παραδεδώκασιν· οὐκ εὐαρίθμητον γὰρ ὅσον ἐν ἀνθρώποις ἡ βάρβαρος χεὶρ ἐκ τοῦ πολιχνίου κατεληΐσατο· ὅσον δ' ἐν γυναιξίν, ἀκολάστως ἐχρήσαντο· ταῖς παρθένοις γὰρ οὐδὲ μέχρις ἁφῆς βαρβαρικῶς ἐνεανιεύσαντο· ϗ οὕτω παρὰ τὴν Ἀρτύκωμιν ἐφερόμεθα, ϗ τὸ βάρβαρον βαρβαρικάς τινας σπονδὰς ἐσπείσατο τοῖς ἐξ Ἀρτυκώμιδος· ϗ οὕτω, πλὴν ἀνθρώπων, πᾶν ἐξεφορτώθη τὸ ληϊσθέν.

Τὸ μὲν οὖν ἐν παρθένοις ἐξ ἀνθρώπων ἡμῶν ἠργυρολογήθη πολλοῦ, πρότερον τῇ τῆς Ἀρτέμιδος ἐμβεβλημένον πηγῇ· ἡμῶν δὲ νεανίσκων ϗ γυναικῶν οὐδεὶς λόγος τοῖς

ἐξ

ἐξ Ἀρτυκώμιδος· καὶ πάλιν ἡ τριήρης εἶχεν ἡμᾶς, ἣν λύσαντες τοῦ λιμένος ἐξάγομεν, καὶ πρὸς λιμένα μετάγομεν ἕτερον, ὅπου τὸ Βάρβαρον τὴν τριήρη τοῖς πείσμασι καταπηξάμενον, παρὰ τὴν ἤπειρον γέγονε, καὶ τὰς γυναῖκας συμμεθειλκύσατο.

Μετὰ γοῦν δὴ πολυτελεῖς τινας τροφὰς καὶ πόσεις, ἃς ἐξ Ἀρτυκώμιδος ἡ τριήρης εἶχε πολλὰς, ἀσμένως ταῖς γυναιξὶ τὸ Βάρβαρον κατεχρήσατο, καὶ τοῖς ὕπνοις ἐσπείσατο καταβεβακχευμένον καὶ οἴνῳ καὶ ἔρωτι· ἐν μέσοις τούτοις ὕπνοις καὶ ἔρωσιν, ἢ μᾶλλον ἀκολάστῳ γνώμῃ Βαρβαρικῇ, τὸ τῆς Δαφνηπόλεως ταύτης ἐφίσταται. στρατιωτικόν· ὑπνοῦσι τοῖς Βαρβάροις κατεπετίθεται, συνέχει τούτους, σφάττει, ληΐζεται ἐπὶ δὴ τούτοις καὶ ἐφ᾽ ἡμῖν· ἐν μέσῃ πόλει ταύτῃ πομπεύει τὸ στρατιωτικόν· καὶ τέλος ἡμᾶς χρησμῷ καταδουλοῦται, καὶ κλήρῳ καταμερίζεται· δουλογραφοῦμαι πάλιν ἐγὼ, καὶ δούλιος κακοῖ με ζυγὸς εἰς ταύτην τὴν Δαφνήπολιν· ἀλλ᾽ ἥκει καιρὸς ὁ



ὁ παρὼν, καιρὸς Ἀπόλλωνος ἑορτῆς, λαμπρὰ τελετὴ τὰ τῆς ἑορτῆς καὶ πανήγυρις· κληροῦται Κῆρυξ τὸ κηρύκειον· καὶ δεσπότης ἐμὸς ὁ χθές μοι τὸν τῆς ἐλευθερίας διαῤῥηξάμενος στέφανον, Κῆρυξ εἰς Ἀρτύκωμιν στέλλεται· γίνεται παρὰ τὴν κληρωθεῖσαν· συνέπομαι τῷ δεσπότῃ κατὰ δοῦλον ἐγὼ, φιλοφρονούμεθα τῷ Σωστράτῳ τῷ τῆς Ῥοδόπης πατρὶ, τῷ χθὲς ἀφελομένῳ τὸν τῆς Ὑσμήνης στέφανον· ταύτης δὲ τῆς Ῥοδόπης τὴν Ὑσμήνην δούλην ὁρῶ, τὸν ἀδελφὸν ὑποκρίνομαι· ἡ δ᾽ ὅλη μοι τὴν ἀδελφὴν καταχηματίζεται, καὶ φιλοῦμεν ὁρώσης καὶ Ῥοδόπης αὐτῆς· εἶθ᾽ ἔρχομαι Ῥοδόπη, καὶ τὴν ἐμὴν ἀδελφὴν ταύτην Ὑσμήνην καὶ δούλην αὐτῆς ὑπηρέτην ἔχει πρὸς ἔρωτα, Ὑσμήνη λεγέτω.

Τὰ δὲ περὶ τὸν βωμὸν, σὺ μᾶλλον οἶδας ἡμῶν ἀκριβέστερον, τὰ τῶν μητέρων δάκρυα, τὴν τῶν πατέρων γλῶσσαν ἐλεεινολογουμένην τὰ καθ᾽ ἡμᾶς, τὸν χρησμὸν, τὴν

τῶν

τῶν παίδων ἀνεύρεσιν, τὸν τῆς ἐλευθερίας στέφανον, τὴν στεφάνωσιν, τὴν ἀποστεφάνωσιν, τὴν σὴν μακαρίαν ἐκείνην φωνὴν, τὸν τῆς ἐλευθερίας ἡμέτερον στέφανον, καὶ τἄλλα ὁπόσα παρὰ τὸν μέγαν τοῦτον τῆς ἐλευθερίας βωμόν.

Ταῦτ' εἰπόντι, χαίροις ὁ ἱερεύς μοι φησὶ, καὶ πρὸς τὴν Ὑσμήνην μετάγει τοὺς ὀφθαλμοὺς, παρθένε, λέγων, Ὑσμήνη, τὰ μὲν δὴ παρὰ τὸν νυμφίον τουτονὶ τὸν σὸν, ἔχω μαθὼν ἀπὸ γλώσσης αὐτοῦ· σὺ δέ μοι τὴν μηνοειδῆ Σελήνην ὁλοκύκλωσον, ἵν' ὁλόφωτον εἴη μοι τὸ διήγημα. ἡ δὲ, πρὸς αὐτόν· φεῖσαι γλώσσης ἐμῆς, πρὸς Ἀπόλλωνος σωτῆρος, γλώσσῃ γάρ τοι παρθενικῇ αἰδὼς προκάθηται, μηδὲ γὰρ οὕτω πάντολμος εἴην, ὡς τὸν πατέρα μὴ φρίττειν, καὶ τὴν μητέρα περιφρονεῖν, σιγὴ παρθένοις κόσμος, καὶ γλώσσης φειδώ.

Ταῦτα μὲν οὖν ἡ κόρη μετ' αἰδοῦς πρὸς αὐτόν· ὁ δὲ τὰ πάντα καλὸς ἱερεὺς, παρθένε





θένε τέκνον φησὶν, εἶτα σοὶ μὲν Ἀπόλλων ἐλευθερίαν χαρίζεται, καὶ τὸν καλὸν τοῦτον Ὑσμηνίαν ἐπινυμφεύει σοι, σὺ δ' οὐδ' αὐτὸ τὸ κατὰ σὲ δρᾶμα θύσεις Ἀπόλλωνι, ἵν' εἴη τὸ διήγημα αἰωνίζον, καὶ φθίνον τὸ τερατούργημα, ὁ μέγας Ἀπόλλων οὕτω καινῶς ἐφ' ὑμῖν φοιβάζων τερατουργεῖ; ἡ δ', ἐσίγα καὶ μόνον ἐδάκρυεν, ὁ δέ γε Σωθένης ἀτενῶς ἰδὼν πρὸς αὐτὴν, καὶ δεινὸν τοῖς ὄμμασιν ὑποβλέπων, ἐγλώσσης σιγὴ, φησὶν, ὁ τῆς σωφροσύνης ὅρος ἐστὶν, ἀλλ' ἔργων κοσμιότης, καὶ ἤθους εὐπρέπεια· σοὶ δ' αἰδὼς μὲν οὐκ ἦν πραττούσῃ κακῶς, εἰπεῖν δ' αἰσχύνῃ; ἐμοὶ δ' οὖν εὐκταιότατον, Ἄπολλον, αἰδεῖσθαι ταύτην πράττειν μᾶλλον ἢ λαλεῖν· πρὸς ἃ δὴ νὴ τοὺς θεοὺς ἠρυθρίων αὐτὸς, καὶ ὀλίγου δεῖν ἀπεφραττόμην τὰ ὦτα, καὶ ἄλλος ἤμην Πρωτεὺς μυρίοις τοῖς χρώμασιν ἀλλαττώμενος, πάνυ γε δυσχεραίνων τοῖς σκώμασι τοῦ πατρός· πρὸς ὃν ὁ ἱερεὺς, πέπαυσο Σώθενες, μὴ καὶ ἀναστῆναι πείσῃς τὴν κόρην· αἰδὼς

γὰρ παῖς ἐλέγχων ἐστι, πρᾶξις δ' οὐκ ἔτεκεν αὐτήν· καὶ πρὸς τὴν κόρην φησί· μὴ φείσῃ λέγουσα· ἡ δὲ, περιῤῥεομένη πυκνοῖς ἱδρῶσι καὶ δάκρυσι, καὶ τῇ γλώσσῃ διαμαρτάνουσα, καὶ τὴν φωνὴν παρακοπτομένη τῷ ἄσθματι, καὶ ὅλους τοὺς ὀφθαλμοὺς τῇ γῇ ἀτενῶς προσερείδουσα· τὰ μὲν δὴ μέχρι νηὸς, καὶ θαλάσσης, καὶ κλύδωνος εἴρηται, φησὶ, τῷδε τανδρί.

Ἐπεὶ δ' ἐξεσφενδονήθην εἰς θάλασσαν, Δελφὶν ἐπὶ νώτων με δέχεται, τοῖς κύμασι κυβιστῶν, καὶ ὅλος κοῦφος νηχόμενος· ἐγὼ δ' ἐπενηχόμην γυμνὴ τῷ θηρὶ, καὶ τοῖς κύμασιν ἐκυκώμην, καὶ πρὸς τὴν θάλασσαν ἠλιγγίων, καὶ πρὸς τὸν τοῦ θηρὸς φόβον τὴν ψυχὴν ἐσπαραττόμην αὐτήν. εἶχον ὡς σωτῆρα τὸν θῆρα καὶ τὸν ὑπηρέτην ἐλογιζόμην ἐχθρόν· ἔφριττον τὸν σωτῆρα, τὸν ἐχθρὸν ἐφίλουν, καὶ ὡς σωτῆρι μὲν συνελκόμην αὐτῷ· ἐπεὶ δὲ θὴρ ὁ σωτὴρ, ἐζήτουν φυγεῖν, ἀλλ' οὐκ ἐθάῤῥουν τοῖς κύμασι, καὶ ἤμην κατακλυδωνι-

ζο-



ζομένη καὶ λογισμοῖς καὶ κύμασι, καὶ θηρί. ἐπεὶ δ' ἤδη τὴν ψυχὴν ἀπερρύσα τοῖς κύμασι, μακρόθεν ἐφίσταταί μοι γυμνὸν ἐπὶ δελφῖνος ἔρως, καὶ αὐτὸ χεῖρά μοι προτείνει, καὶ λαβὸν ἐπὶ τὴν χέρσον ἐξάγει με, καὶ πτερυξάμενον τοῖν ποδοῖν, (ἦν γὰρ πτερωτὸν τὼ πόδε) τῶν ὀφθαλμῶν μου ἀπέπτη· ἐγὼ δ' ἀλλ' ὦ μῆτερ, παρακαθημένη τοῖς κύμασιν, ὦ μῆτερ μῆτερ, συνδάκρυσιν ἔλεγον.

Μετὰ γοῦν δή τινας ἡμέρας, ὧν ἀκριβῶς οὐκ οἶδα τὸν ἀριθμὸν, ναῦν παραθέουσαν ὁρῶ, πρὸς ἣν ἐκτείνω τὼ χεῖρε, τῷ σχήματι δυσωπῶ, καὶ παρακαλῶ τῇ φωνῇ· ταύτην ἄγουσιν οἱ πλωτῆρες περὶ τὴν γῆν, καί με τῆς χέρσου λαμβάνουσι καὶ παρατίθενται τῇ νηΐ, καὶ θάλπουσι τὴν ψυχήν· ἐπεῤῥωγός τι ῥάκος μοι ἐπιδιδύσκουσι, καὶ τροφήν μοι συμπαθῶς παρατίθενται, ὅλον κοινούμενοι τὸ δυστυχές.

Τὴν νύκτα γοῦν ὅλην οὐρίῳ πλέοντες πνεύματι, ἔτι μικρὸν ὑποφαινομένης τῆς γῆς οὐ

πρό-

σφόδρα βιαίως ἠγόμεθα· ἡλίου δ' ἀνίσχοντος τὸ κῦμα ηὐξάνετο ϗ ὁ ἄνεμος ἐπεδίδου ϗ κατετρύγα τὸ κέρας, ϗ ὁ κυβερνήτης ἐζήτει τὴν γῆν ἐκφεύγων τὸν κλύδωνα· ἀλλ' ἔλαθεν εἰς πῦρ ἐμπεσὼν τὸν καπνὸν ἐκφυγών· ἅμα γὰρ περὶ τὴν γῆν προσορμίζει τὴν ναῦν ϗ θηρσὶν ἀνθρώποις ἡμᾶς παραδίδωσιν· ἦν γὰρ περὶ τῷ λιμένι τριήρης, ϗ παρὰ τῇ ψάμμῳ πλῆθος ἀνδρῶν, τοὺς ὀφθαλμοὺς ἀγρίων, μεμελανωμένων τὰς ὄψεις, παλαμναιοτάτων τὰς χεῖρας, ϗ θηρίων ὅλων μᾶλλον ἢ ἀνδρῶν· οἳ συνέχουσι πάντας ἡμᾶς, ϗ σφάττουσι τοὺς ἄνδρας ἀνηλεῶς, ϗ χαίρουσι τῷ θηράματι· ἐμὲ δ' οὐκ οἶδ' ὅπως παρὰ τὸν πυθμένα τοῦ σκάφους κατάγουσι, ποδοκάκην ἐνθέντες μοι τοῖς ποσί, ϗ μεθ' ἡμέραν ἐκείνην ἐστείλαντο τὴν ὀθόνην, παραδόντες τὸ σκάφος τῷ πνεύματι ϗ δι' ὅλης ἐκείνης νυκτὸς ἐφερόμεθα προσηνῶς εὐδίῳ τῷ πνεύματι.

Ἐπεὶ δ' ὁ λαμπρὸς ἐξέλαμψεν ἥλιος, καθ'



καθορῶμεν τὴν γῆν, ϗ πόλις περὶ τὴν γῆν· ἀποβάντες τῆς τριήρους οἱ πειραταί, ϗ τοῖς πολίταις σπεισάμενοι, ἐξάγουσι τὸν φόρτον τοῦ σκάφους, κἀμὲ συνεξάγουσι, ϗ περί τινα μετάγουσί με πηγήν, ϗ δάφνης με στεφανώσαντες ἐπιρρίπτουσι τοῖς ὕδασι, ϗ μεθ' ἡμέραν πάλιν ἐξάγουσι, ϗ δουλογραφοῦσί με τῇ Ῥοδόπῃ, μεθ' ἧς τὸν μέγαν τοῦτον βωμὸν τῆς ἐλευθερίας κατέλαβον· δέσποιναν ἔχουσα αὐτὴν ἐκ θαλάττης ϗ τύχης ϗ δουλογραφείου βαρβαρικοῦ· ταῦτα τῆς ἐμῆς Ὑσμίνης εἰπούσης, τέλος τὸ δεῖπνον ἐδέχετο, ϗ τοῖς ὕπνοις, ὡς ἐκ πολυτελοῦς τραπέζης αὐτῆς ἐσπεισάμεθα· ἐπεὶ δὲ νὺξ οὐδαμοῦ (ἥλιος γὰρ ὑπὲρ γῆν) ϗ ἡμεῖς τοῖς ὕπνοις ἀπεσπεισάμεθα, ϗ στρωμνῆς ἀνέστημεν ἕκαστος.

Ἐπειδὴ πέρας ἔλαβε ϗ τὰ τῆς ἑορτῆς, ἀπαίρομεν ἐκ Δαφνηπόλεως εἰς Ἀρτύκωμιν, ὡς χρυσὸν ἐν πυρὶ τὴν Ὑσμίνην ἐν πηγῇ ϗ τόξοις ἀργυρογνωμονήσοντες· παρὰ τὴν πηγὴν ἐγενόμεθα τῆς Ἀρτέμιδος, ϗ πᾶσα πό-

ἡ πόλις σὺν ἡμῖν συντρέχει· καὶ τὸ τῆς Ἀρτυκώμιδος γίνεται πρὸς τῇ πηγῇ, πρὸς τοῖς τόξοις, τὴν Ὑσμίνην ἐστεφανωμένην ὁρᾷ, τὴν Ἄρτεμιν καταδυσωπεῖ, ἐλεεῖ τὴν κόρην περὶ τὴν παρθένον διψυχεῖ, ἀπιστεῖ τῇ σεμνότητι, καὶ φρίσσει τὸν ἔλεγχον. ἐγὼ δὲ εἱστήκειν ὁρῶν, περὶ τὸ τόξον, καὶ τὴν πηγὴν, καὶ τὸν στέφανον ὅλους ἔχων τοὺς ὀφθαλμούς· καὶ βλέπων ἐδάκρυον, καὶ ὅλην τὴν ψυχὴν κατεπολιορκημένην τοῖς λογισμοῖς. Ὑσμίνη μοι στεφανοῦται· τὸ παρεστὸς ἀλαλάζει· ἐμβάλλεται τῇ πηγῇ, τὸ πλῆθος σιγᾷ καὶ θροῦς οὐδαμοῦ, τὸ τόξον ἠρεμεῖ, τὸ ὕδωρ ἀτρεμεῖ, καὶ ἡ παρθένος κούφως τοῖς ὕδασιν ἐπινήχεται.

Χαίρει τὸ πλῆθος, ἐξ ἡδονῆς ὀρχεῖται, χάριεν κροτεῖ καὶ ἀλαλάζει σωτήριον, καὶ παρθένος ἡ κόρη κηρύσσει στεντόρειον· ἐγὼ δ' ὅλην ὑφ' ἡδονῆς ἐκκέχυμαι τὴν ψυχήν· ἐκβάλλεται τῆς πηγῆς ἡ παρθένος, οὐκ ἔτι γὰρ διψυχήσει περὶ τὴν κλῆσιν οὐδείς· ἡ μήτηρ δ' αὐτὴν περιπτύσσεται· τῷ πατρὶ

μεθ'



μεθ' ἡδονῆς εὐλογεῖται καὶ περὶ τὴν Ἄρτεμιν γίνεται· ἐπιστεφανοῦται τὸ ἐπινίκιον, ἡ παρθένος, παρθένος, περὶ τὴν κόρην οὐκ ἔστιν διψυχῶν, καὶ οὕτως ἐξ Ἀρτυκώμιδος γινόμεθα περὶ τὴν Αὐλίκωμιν, θύομεν τοὺς γάμους πολυτελεῖς ἐν μέσῳ τῷ τοῦ Σωσθένους κήπῳ, ἐν ἐκείνῃ τραπέζῃ καὶ φρέατι, οἷς πρώτως ἐρωτικὴν παστάδα κατεπήξαμεν.

Ὀρθὴ γοῦν πᾶσα πόλις Αὐλίκωμις ὑμνοῦσα, κροτοῦσα, χαίρουσα, ὀρχουμένη πρὸ τῆς παστάδος, πρὸ τοῦ νυμφῶνος, πρὸ τῶν νυμφίων ἡμῶν, ᾠδὴν ὑμέναιον ᾄδουσα, ἐπιθαλάμιον ἀλαλάζουσα, καὶ λαμπρὸν ἀγαλλομένη γαμήλιον. τίς οὖν οὕτω καὶ τὴν μοῦσαν ἡδὺς, καὶ τὴν φωνὴν μεγαλόφωνος, καὶ τὴν γλῶτταν ἀττικουμένην ἔχων, ὡς τὰ πολλὰ, καὶ κομψευομένην ὑπόσεμνα, ὡς καταζωγραφῆσαι τῷ λόγῳ τοὺς γάμους, καὶ ὅλους αὐτοὺς διαγράψασθαι;

Θεῶν οὖν ἦν ὄντως ἐκείνη παστὰς, Ἥρας γάμος, καὶ Ἀφροδίτης νυμφών· ἐγὼ δ' ἐ-



χαι-

χαιρον ὕτω λαμπρῶς ϗ λίαν φιλοτίμως νυμ-
φοςολόμενος, ϗ μᾶλλον ὅτι ϗ τὴν Ὑσμή-
νην Ἔρως συνενυμφοςόλησέ μοι πολυτελῶς,
βασιλικῶς συνεκάθισε, ϗ μεγαλοπρεπῶς συ-
νεςεφάνωσεν· ἀλλ᾽ ηὐχόμην πέρας τὰ τῆς
τραπέζης εὑρεῖν, ϗ νὴ τὸν Ἔρωτα τὴν ἡμέραν
ἐμίσησα τὴν νύκτα ζητῶν, ϗ τὸ τῆς κωμῳδίας
μικρὸν ὑπαλλάξας, ὑπεψιθήρισα. Ὦ ΖΕΥ
βασιλεῦ, τὸ χρῆμα τῆς ἡμέρας ὅσον!

Οὕτω μὲν ὖν μοι τὰ τῶν γάμων, ὑπὲρ
τὴν Ὁμήρυ μεγαλωφωνίαν, ὑπερ πᾶσαν
μῦσαν, ὑπὲρ πᾶσαν γλῶσσαν κατεςομωμέ-
νην ῥητορικῶς. ἀλλ᾽ ὦ Ζεῦ, ὁ Κῆρυξ ἦλ
θον εἰς ταυτηνὶ τὴν Αὐλίκωμιν! ὦ τύραννε
Ἔρως, ὁ δῦλος ἐξ Αὐλικώμιδος ταύτης εἰς
τὴν ἐμὴν ἱπανῆκον Εὐρύκωμιν! ὦ μέγ᾽ Ἄ-
πολλον ἐλευθερίαν ἡμῖν χαριζόμενος! ὦ τό-
ξον Ἀρτέμιδος ϗ πηγὴ τὴν παρθένον ἐλέγ-
χυσα! μὴ βυθὸς ἀμνηςίας κατεπικλύσῃ ταῦ-
τα τὰ καθ᾽ ἡμᾶς· μὴ χρόνος μακρὸς, μὴ
ῥυτὶς, μὴ λήθης κρατὴρ ἐν Ἄδυ κιρνώμενος.

Ἀλλ᾽



Ἀλλ᾽ ὦ Ζεῦ εἰ τὸ τῶν Διοσκύρων θαυμά-
ζων φιλάδελφον, ἐν ὐρανῷ τὴν μνήμην φυ-
λάττεις ἀθάνατον, ὑπὲρ ἐκείνην ἡμῖν τὸ φι-
λάδελφον ὅλον κοινωσαμένοις τὸ ζώσιμον. εἰ
τὸν πολὺν Ἡρακλῆν τῶν πολλῶν ἐκείνων ἐ-
λεήσας δρόμων ϗ περιδρόμων, ὐρανῷ τὴν
μνήμην ἀπαθανατίζεις αὐτῷ, ἡμεῖς αἰχμά-
λωτοι, ϗ δῦλοι, ϗ πλανῆται, ϗ ἐπὶ πᾶσι τὴν
παρθενίαν ἀπαρεγχείρητοι. ἀλλὰ κατέψευ-
σμαι τὸ κηρύκιον· Ἔρωτα παῖδα Διὸς ἀν-
τηλλαξάμην πατρὸς, ϗ Ζεὺς ὁ καταςερίσε
τὰ καθ᾽ ἡμᾶς, ϗ τὴν ἐν ὐρανῷ μνήμην ἐκ
ἐπινεύει χαρίσασθαι.

Σὺ δ᾽ ἀλλ᾽ ὦ Πόσειδον, εἰ τὸν Ἴκαρον ἐ-
λεεῖς, ϗ σώζεις τύτῳ τῇ θαλάσσῃ τὴν μνή-
μην ἀθάνατον, τῷ πελάγει κλῆσιν ἐξ αὐτῦ
χαριζόμενος, ἡμῖν ὐ περιςώσεις τὴν μνήμην
ἐξ ἡμετέρων ἐκείνων τεράτων, κλῆσιν τῇ
θαλάσσῃ δωρύμενος, ϗ τὰ καθ᾽ ἡμᾶς ἐν ὕ-
δατι καταζωγραφῶν, ϗ μέχρις ἐσχάτων τη-
ρῶν ἀναπόνιπτα; ϗ πάντως. ἀλλ᾽ αἰδῇ τὴν

 ἔτι

ἧτταν, ἢ δέδοικας μὴ τὰ καθ' ἡμᾶς καταζωγραφῶν στηλογραφήσῃς τὰ κατὰ σοῦ.

Σὺ δ' ὦ Γῆ μῆτερ, εἰ τὴν Δάφνην φεύγουσαν ἐλεεῖς, καὶ κρύπτεις καὶ σώζεις, καὶ φυτὸν ὁμώνυμον αὐτομάτως γεννᾷς εἰς μνήμης συντήρησιν, εἰ τὸν Ὑάκινθον ἐξ ὁμωνύμου φυτοῦ φυλάττεις ἀθάνατον, ἡμῖν οὐ συντηρήσεις τὴν μνήμην; φυτὰ δ' οὐκ ἀναδώσεις ὁμώνυμα; στήλας ἀθανάτους τῶν καθ' Ὑσμήνην ταύτην καὶ τὸν Ὑσμηνίαν ἐμέ, ὅλον δρᾶμα τὸ καθ' ἡμᾶς τοῖς φυτοῖς καταζωγραφοῦσα καὶ καταστηλιτεύουσα, καὶ καθ' ἡμᾶς φυλάττουσα τὴν μνήτην ἀθάνατον; ἀλλ' ἐννοσίγαιος ὁ Ποσειδῶν, ἀλλ' ἐνοσίχθων, καὶ καταβρυχήσεταί σε, μῆτερ, ὡς λέων καὶ κατακυκήσει σε τὴν μητέρα στηλογραφοῦσαν τὰ καθ' ἡμᾶς καὶ τὴν ἐξ Ἔρωτος καταφαυλίζουσαν ἧτταν αὐτῷ, ὁ φιλομήτωρ δ' ἐγώ, καὶ τιμῶ τὴν μητέρα, καὶ κήδομαι τῆς μητρός.

Τοίνυν εἰ Ζεὺς οὐ καταστερήσει καὶ τὰ καθ' ἡμᾶς, εἰ Ποσειδῶν οὐ καταστηλογραφήσει τοῖς ὕδα-

ὕδα-



σιν, εἰ γῆ μὴ καταφυτουργήσει τοῖς φυτοῖς καὶ τοῖς ἄνθεσιν, ἀλλ' ὡς ἐν ἀμαράντοις ξύλοις καὶ λίθοις ἀδάμασιν Ἑρμοῦ γραφίδι καὶ μέλανι, καὶ γλώσσῃ πῦρ πνεούσῃ ῥητορικόν, τὰ καθ' ἡμᾶς στηλογραφηθήσεται, καί τις τῶν ὀψιγόνων καταρρητορεύσει ταῦτα, καὶ ὡς ἀθανάτῳ στήλῃ τοῖς λόγοις ἀνδριάντα χαλκουργήσει κατάχρυσον.

Ὅσον μὲν οὖν ἐν ἀνθρώποις ἐρωτικώτερον, τῶν πολλῶν ἐρωτικῶν χαρίτων ἡμᾶς ἀποδέξεται, καὶ ὅσον παρθενικὸν καὶ σεμνότερον τῆς σωφροσύνης πάλιν ἀγάσεται, ὅσον δὲ συμπαθέστερον ἐλεήσει τῶν δυστυχημάτων ἡμᾶς· καὶ οὕτως ἡμῖν ἔσται τὰ τῆς μνήμης ἀθάνατα, ἡμεῖς δὲ καταχαριτώσομεν τὴν γραφήν, καὶ ὅλην βίβλον κατακοσμήσομεν, καὶ χάρισιν ἐρωτικαῖς καὶ τοῖς ἄλλοις, ὅσα βίβλους κοσμοῦσι, καὶ τοὺς λόγους κατακαλλύνουσι. κλῆσις δ' ἔσται τῇ βίβλῳ τὸ καθ' Ὑσμήνην δρᾶμα καὶ τὸν Ὑσμηνίαν ἐμέ.

ΤΕΛΟΣ.

# Διορθώσεις μερικῶν Παροραμάτων

| Παροράματα | Διορθώσεις |
|---|---|
| σελ: στίχ: | |
| 36. 19. στεφανεῖ | γρ: στεφανοῖ |
| 37. 7. θορυβημένος | τεθορυβημένος |
| 41. 6. ἐπιθήσει. | ἐπιθῆταί μοι |
| 55. 17. ἀπ' Εὐρυκ: | ἐπ' Εὐρυκ: |
| 84. 2. ἐξηγόμην αὐτῷ ὅσα με κατεγλύκ: | ἐξηγόμην αὐτῷ ὅσα με κατεπαιζον ὄνειροι, ὅσα με κατεγ: |
| 85. 10. σκηνὴν τὸν Κήρηκα | σκηνὴν, ἐνεδυσάμην τὸν Κήρ: |
| 94. 17. κόπος ὡς ἀπὸ μηχανῆς | κόπους τὸν ὕπνον ὡς ἀπὸ μηχ: |
| 119. 4. ἔφη | ἔφυ |
| 129. 8. ὑπαινίξ: | ὑπηνίξ: |
| 133. 2. πληρώμ: | κληρώμ: |
| 134. 14. πυθμένους | πυθμένος |
| 139. 20. πληγὴν | πληγὲν |
| 140. 8. ἐξηχεῖτο | ἐξεχεῖτο |
| 141. 14. ἀγείρει | ἐγείρει |
| 160. 11. ἂν εἰς | ἂν εἴη |
| 182. 7. δοκιμάζωσοι | διακομίζωσοι |
| 192. 16. βλέπουσα | βλέπουσι |
| 193. 14. ἐρεθιζουσαι | ἐρίζουσαι |

# ΚΑΤΑ'ΛΟΓΟΣ

Τῶν ὅσων νέων Βιβλίων, ὅπου πρότου δὲν ἦτον εἰς τὸ φῶς καὶ εἰς φῶς ἐξέδωκα ἰδίοις μου ἀναλώμασιν εἰς Βενετίαν καὶ ἐδῶ εἰς Βιένναν.

## Εἰς μὲν τὴν Βεννετίαν ἐξέδωκα τὰ κάτωθεν.

---

Ἀκολουθία τοῦ ἁγίου Χαραλάμπους πρώτη ὅπου ἐτύπωσα εἰς τοὺς 1750.

Ἑτέρα τοῦ Ἁγίου Διονυσίου τοῦ ἐν τῷ Ὀλύμπῳ.

Ἑτέρα τοῦ ἁγίου Μάρτυρος Ἰωάννου τοῦ ἐξ Ἰωαννίνων.

Ἁγιασματάριον διὰ τοὺς Ἱερεῖς, ἐφεύρεμα ἐδικόν μου, ἐτυπώθη πολλάκις, καὶ ἀπὸ ἄλλους.

Ἀλεξάνδρου Μακεδόνος Ἱστορία Μυθώδης.

Τοῦ αὐτοῦ ἑτέρα ἔκδοσις πλέον ἀληθής.

Τοῦ αὐτοῦ Ἐπιστολὴ ἐκ τῆς Ἰνδίας πρὸς τὸν Διδάσκαλόν του Ἀριστοτέλη.

Γνωμικὰ διαφόρων Φιλοσόφων πρῶτον ἐτυπώθη εἰς Βλαχίαν, ἢ ἦτον δυσεύρετον.

Ἐπιςολικὸς χαρακτὴρ, ἤτοι Ἐπιςολάριον τοῦ Μίλια πρώτη ἔκδοσις.

Θρησκεία τῶν Ἑβραίων μὲ ταῖς τάξες, ἢ ἔθιμα αὐτῶν περίεργος.

Ἱςόρια τῆς Ῥωσσίας κατὰ τὴν παροῦσαν κατάςασιν.

Ἱςόρια τῆς Κίνας ὁμοίως κατὰ τὴν παροῦσαν κατάςασιν.

Μυθολογικὸν Ἀραβικὸν τῆς Χαλιμᾶς εἰς τρεῖς Τόμους. ἐτυπώθη ἢ ἀπὸ ἄλλους πολλάκις.

Τετράβαγγελον εἰς πολλὰ μικρὸ χαρακτῆρα διὰ ἐγκόλπιον, ἐτυπώθη ἢ ἀπὸ ἄλλους.

Εἰς δὲ τὴν Βιένναν ἐξέδωκα τὰ κάτωθεν.

Ἀλφαβητάριον ἤτοι Νέα Παιδαγωγία πλέον μεθοδικὴ διὰ τὰ Παιδία.

Βε-



Βελισσαρίου Ἱςορία ἠθικὴ μὲ εἰκόνας, περίεργος.

Γραμματικὴ φραντζέζικη ἢ ῥωμαϊκὴ πρώτη ὁποῦ ἐφάνη εἰς τὸ φῶς.

Διδασκαλία τῶν Ἱερέων, ἢ Διακόνων περὶ τοῦ πῶς νὰ διορθώνουν τὰ συμβάντα εἰς τὰς Ἱεροπραξίας.

Διδασκαλία τῶν ἐξομολογέντων, ἢ ἐξομολογουμένων.

Ἐκκλησιαςικὴ Ἱςορία Μελετίου Ἀθηνῶν 1700 εἰς τρεῖς τόμους πρώτη ὁποῦ ἐκδόθη εἰς τὸ φῶς.

Εὐςαθείου τὸ Καθ' Ὑσμηνίαν, ἢ Ὑσμήνην Δρᾶμα εἰς βιβλία ΙΑ'. ἑλληνικὸν, νῦν τυπωθέν.

Θεολογικὸν τοῦ Πλάτωνος Μοσχοβίας συγγραφὲν πρὸς Κατήχησιν τοῦ Διαδόχου. Τῆς Ῥωσσίας Παύλου Πέτροβιτζ, ἀξιόλογον ἢ διὰ κάθε εὐσεβῆ ὡς οὐδὲν ἄλλο.

Παμέλα Κωμῳδία περίεργος ἢ ἠθική· εὑρίσκεται εἰς τὸν τύπον

Πε-

# ΚΑΤΑ'ΛΟΓΟΣ.

Περιήγησις Κύρου Περσῶν πολλὰ ἠθική.

Πέτρου Σκανδάλου τοῦ Μηνιάτη περὶ τοῦ σχίσματος τῶν Λατίνων, καὶ περὶ τῶν πέντε διαφορῶν

Πιλπάϊδος Μυθολογικὸν ἠθικὸν, καὶ περίεργον.

Ῥομπισὸν Χοσρόη ἱστορία περίεργος ἠθικωτάτη, καὶ ὠφέλιμος διὰ τοὺς νέους. εὑρίσκεται εἰς τὸν τύπον.

Συμεὼν Θεσσαλονίκης τὰ Ἅπαντα εἰς πεζὴν φράσιν. τυπώνεται ὅλον ἕνα. Χρήσιμος βίβλος διὰ καθ᾽ ἕναν εὐσεβῆ, καὶ μάλιστα διὰ τὸ Ἱερατεῖον ἀναγκαιοτάτη.

Χαλιμᾶ νέα, ἤτοι ἀραβικὸν Μυθολογικὸν Τόμος πρῶτος καὶ δεύτερος, νῦν πρῶτον τυπωθέντες, καὶ ἐξακολούθως θέλουν τυπωθῆ καὶ ἄλλοι Τόμοι ἀρ᾽ οὗ καὶ ἰδῶ τὸ καλὸν ἔζητο τῶν παρόντων.

Τὰ [illegible] εὑρίσκονται ἐδῶ δεμένα διὰ πούλημα.

ΛΙΟΘΗΚΗ ΤΗΣ ΒΟΥΛΗΣ ΤΩ